
Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/epistolaegraecee00alci

LGI
A353B

ΑΛΚΙΦΡΟΝΟΣ
ΡΗΤΟΡΟΣ
ΕΠΙΣΤΟΛΑΙ.

ALCIPHRONIS
RHETORIS
EPISTOLAE
GRAECE ET LATINE,
AD EDITIONEM
S. BERGLERI,
ACCURATISSIME IMPRESSAE.

TRAJECTI AD RHENUM,
APUD B. WILD ET J. ALTHEER,
MDCCXCI.

ΑΛΚΙΦΡΟΝΟΣ ΡΗΤΟΡΟΣ

ΕΠΙΣΤΟΛΑΙ.

ΕΥΔΙΟΣ ΦΙΛΟΣΚΑΦΩι.

Χρησὴν ἡμῖν ἡ θάλασσα τοτήμερον εἶναι τὴν γαλήνην ἐτόρεσεν. ὡς γὰρ τρίτην ταύτην εἶχεν ὁ χειμὼν ἡμέραν, καὶ λάβρως κατὰ τοῦ πελάγους ἐπέπνεον ἐκ τῶν ἀκρωτηρίων οἱ βορεῖς, καὶ ἐπεφρίκει μὲν ὁ πόντος μελαινόμενος, τοῦ ὕδατος δὲ ἀφρὸς ἐξηνθήκει, πανταχοῦ τῆς θαλάσσης ἐπαλλήλων ἐπικλωμένων τῶν κυμάτων, τὰ μὲν γὰρ ταῖς πέτραις προσηράσσετο, τὰ δὲ ἔισω

ALCIPHRONIS RHETORIS

EPISTOLAE.

EVDIVS PHILOSCAPHO. I.

COmmoda nobis mare tranquillitate hodierno die ſtratum eſt. cum enim tertium hunc diem dura et tempeſtas, & valide verſus mare flaret a promontoriis Boreas, inhorreſceretque nigreſcens pontus, & ab undis ſpuma efflореſceret, crebris undique per mare fractis fluctibus; (nam partim petris allidebantur, partim intrinſecus intumeſcentes rumpebantur;)

ἀνοιδοῦντα ἐῤῥήγνυτο, ἀεργία παντελὴς ἦν· καὶ τὰ ἐπὶ ταῖς ἠιόσι καταλαβόντες καλύβια, ὀλίγα ξυλισάμενοι κομμάτια, ὅσα οἱ ναυπηγοὶ πρώην ἐκ τῶν δρυῶν, ὡς ἐξέτεμον, ἀπέλιπον, ἐκ τούτων πῦρ ἀνάψαντες τὸ πικρὸν τοῦ κρυμοῦ παρεμυθούμεθα. τετάρτη δὲ ἄυτη ἐπιλαβοῦσα ἡμᾶς ἀλκυονὶς ὡς οἶμαι ἡμέρα, ἔστι γὰρ τοῦτο τῷ καθαρῷ τῆς αἰθρίας τεκμαίρεσθαι, πλοῦτον ἀθρόον ἀγαθῶν ἔδειξεν. ὡς γὰρ ἄφθη μὲν ὁ ἥλιος, πρώτη δὲ ἀκτὶς εἰς τὸ πέλαγος ἀπέστιλβε, τὸ πρώην νεωλκηθὲν σκαφίδιον σπουδῇ κατεσύραμεν· εἶτ' ἐνθέμενοι τὰ δίκτυα ἔργων εἰχόμεθα. μικρὸν δὲ ἄπωθεν τῆς ἀκτῆς χαλάσαντες, Φεῦ τῆς ἐυοψίας, ὅσον ἰχθύων ἐξειλκύσαμεν· μικρὸν καὶ τοὺς Φελλοὺς ἐδέησε κατασύραι ὕφαλον τὸ δίκτυον ἐξογκούμενον. ἐυθὺς οὖν ὀψῶναι πλησίον, καὶ τὰς εἴλας ἐπωμίους ἀνελόμενοι, καὶ τὰς ἑκατέρωθεν σπυρίδας ἐξαρ-

otium erat ſolidum: occupatisque tuguriis, quæ in littoribus erant, congeſtis paucis lignorum ſegmentis, quæ navium fabricatores antea de quercubus exciſis reliquerant, igne ex his accenſo acerbitatem frigoris ſolabamur. Quartus vero hic inſecutus, Halcyonius ut puto dies, (licet enim hoc ex puritate ſerenitatis conjicere) theſaurum bonorum cumulatiſſimum oſtendit. Ut enim Sol apparuit, primusque radius mari illuxit, ſcaphulam nuper ſubductam confeſtim deduximus: deinde impoſitis retibus operi incubuimus: paululum vero a littore laxantes *retia*, o copiam opſoniorum! quantum piſcium extraximus. parum etiam aberat, quin ſuberinos cortices detraheret in mari demerſum & mole gravatum rete. Mox itaque opſonatores præſto erant: jugisque in humeros

τήσαντες, καὶ ὑπὲρ αὐτῶν καταβαλόντες ἀργύριον, ἄχυδ' ἐκ Φαλήρων ἠπείγοντο. πᾶσι δὲ τούτοις ἠρκέσαμεν ἡμεῖς· καὶ πρὸς τούτοις ἀπηνεγκάμεθα γαμεταῖς καὶ παιδίοις ὄγκον οὐκ ὀλίγον ἔχειν τῶν λεπτομερῶν ἰχθύων. οὐκ εἰς μίαν, ἀλλ' εἰ χειμὼν ἐπιλάβοιτο, καὶ εἰς πλείους ἡμέρας ἐμφορῆσαι.

ΓΑΛΗΝΟΥ ΚΥΡΤΩΝΙ.

ΜΑ'την ἡμῖν πάντα πονεῖται ὦ Κύρτων. δι' ἡμέρας μὲν ὑπὸ τῆς ἀέλλης φλεγομένοις· νύκτωρ δὲ ὑπὸ λαμπάσι τὸν βυθὸν ἀποξύουσι· καὶ τὸ λεγόμενον δὴ τοῦτο εἰς Δανάιδων τοὺς ἀμφορέας ἐκχέομεν πίθους. οὕτως ἄπρακτα καὶ ἀνήνυτα μοχθοῦμεν· ἡμῖν μὲν γὰρ οὐδὲ ἀκαλύφης ἐστὶν ἢ πελωρίδος ἐμπλῆσαι τὴν γαστέρα· ὁ δεσπότης δὲ συλ-

sublatis, & sportulis utrinque suspensis: pro iis pecunia numerata, in urbem ex Phalero properabant. Omnibus autem istis nos satisfecimus: & ad hæc tulimus uxoribus & liberis molem haud parvam minutiorum piscium: ut non in unum tantum, sed si tempestas ingruat, in plures dies se explere possent.

GALENUS CYRTONI. II.

FRustra a nobis omnis opera consumitur, o Cyrton, qui interdiu æstu urimur, noctu vero cum fucibus profundum verrimus: & quod proverbio dicitur, in Danaidum dolia effundimus amphoras. Sic in vanum & irritum labor noster cadit. Nobis enim nec urtica nec Peloride *ostrea* implere ventrem datur; Dominus

λέγει καὶ τοὺς ἰχθύας, καὶ τὰ κέρματα. οὐκ ἀπόχρη δὲ αὐτῷ τοσαῦτα ἔχειν παρ' ἡμῶν, ὁ δὲ διερευνᾶται καὶ τὸ σκαφίδιον. συνεχῶς καὶ πρώην ὅτ' ἐκ Μυνυχίας ἐπέμψαμεν αὐτῷ κομισοῦντα τὸ ὀψώνιον Ἕρμωνα τουτονὶ τὸν μειρακίσκον, σπόγγους ἡμῖν ἐπέταττε καὶ τὰ ἐκ τῆς θαλάσσης ἔρια ἃ φύεται ἐπιεικῶς ἐν εὐρυνόμης εἰς λῆμνον. ὡς θ' ὁ μὲν οὔπω ταῦτα προσαπῄτει, καὶ ὁ Ἕρμων ἀφεὶς τὸ φορτίον αὐτοῖς ἰχθύσιν, ἀφεὶς δὲ καὶ ἡμᾶς αὐτῷ τῷ σκάφει ᾤχετο ἐπὶ Λέσβου κωπήρης Ῥοδίοις τισὶ βαλαντουργοῖς ἀναμιχθείς. καὶ ὁ μὲν δεσπότης δικέτην, ἡμεῖς δὲ συνεργὸν ἀγαθὸν ἐπενθήσαμεν.

autem colligit & piſces & pecuniam. Nec vero ſufficit ei tantum a nobis habere, ſed & cymbam aſſidue perluſtrat. Et nuper cum ex Munichia ad eum mitteremus Hermonem iſtum adoleſcentulum, ut ei opſonium ferret; ſpongias nobis imperabat, & marinas lanas, quæ naſcuntur modice in Eurynomes ſtagno. Itaque ille hæc nondum etiam exigebat: & Hermon relicto onere una cum piſcibus, relictis etiam nobis una cum cymba, abiit in Lesbum remo inſtructus, cum ſe Rhodienſibus quibusdam piſcatoribus aſſociaſſet. Et dominus quidem ſervum, nos autem fidelem operum laborumque ſocium luximus.

ΓΛΑΥΚΟΣ ΓΑΛΑΤΕΙ'Αι.

Χρηστὸν ἡ γῆ καὶ ἡ βῶλος ἀκίνδυνον. οὐ μάτην γοῦν ἀνεισιδώρων ταύτην ὀνομάζουσιν Ἀθηναῖοι ἀνιεῖσαν δῶρα δι' ὧν ἔστι ζῆν καὶ σώζεσθαι. χαλεπὸν ἡ θάλαττα καὶ ἡ ναυτιλία ῥιψοκίνδυνον. ὀρθῶς ἐγὼ τοῦτο κρίνω πείρᾳ καὶ διδασκαλίᾳ μαθών. ποτὲ γὰρ ὤφην ἀποδόσθαι βουληθεὶς ἤκουσα ἑνὸς τῶν ἐν τῇ ποικίλῃ διατριβόντων ἀνυποδήτων καὶ ἐνερόχρωτος ιχθίδιον ἀποφθεγγομένου τὴν ἀπόνοιαν τῶν πλεόντων ἐπισύροντος, ἔλεγε γὰρ ἄρα τοῦτο τινὸς εἶναι σοφοῦ τὰ μετέωρα. καὶ ἦν ὅσον ἀπομνημονεύσαντα οὐχ ὅλον εἰπεῖν ὧδε εἰρημένον· ὀλίγον δὲ διὰ ξύλου ἄϊδ' ἐρύκει. τί οὖν γύναι οὐ σωφρονοῦμεν καὶ ὀψὲ τοῦ καιροῦ φεύγομεν τὴν πρὸς τὸν θάνατον

GLAVCVS GALATEAE. III.

BOna eſt terra, & gleba expers periculi. Proinde non temere aneſidoram eam vocant Athenienſes, quod ſummittat dona, per quæ datur vivere & ſalutem tueri. Damnoſum eſt mare, & navigatio res in pericula præceps. Recte ego hoc judico, qui experiundo diſcendoque cognoverim. Aliquando enim cum piſces vendere vellem, audivi quendam, qui erat ex his, qui in Pœcila verſantur diſcalceati, & luridо colore præditus, recitantem carmen, & deſperationem navigantium increpantem: dicebat autem id eſſe [Arati] cujusdam rerum cœleſtium periti: & erat, ut quantum memoria mea fert, non totum recitem, ſic pronunciatum: — *ὀλίγον δὲ διὰ ξύλου ἄϊδ' ἐρύκει. exiguum lignum inhibet Orcum.* Cur igitur o conjux non ſapimus, & ſero tandem mortis vicinitatem fugimus? Idque cum

γειτνίασιν· καὶ ταῦτα ἐπὶ παιδίοις ζῶντες· οἷς εἰ καὶ μηδὲν μέγα παρέχειν δι' ἀχρηματίαν ἔχομεν, τάδε ἕξομεν καὶ χαριούμεθα, τὸ τὰς τριηρμίας, καὶ τοὺς ἐκ βυθοῦ κινδύνους ἀγνοῆσαι· γεωργίᾳ δὲ συντραφῆναι, καὶ τὸν ἀσφαλῆ καὶ ἀδεᾶ βίον ἀσπάσασθαι.

ΚΥ'ΜΩΘΟΣ ΤΡΙΤΩΝΙ'ΔΙ.

Ὅσον ἡ θάλαττα τῆς γῆς διαλλάττει, τοσοῦτον καὶ ὁι ταύτης ἡμεῖς ἐργάται τῶν κατὰ πόλεις ἢ κώμας οἰκούντων διαφέρομεν. οἱ μὲν γὰρ ἢ μένοντες εἴσω πυλῶν τὰ δημοτικὰ διαπράττονται, ἢ γεωργίᾳ προσέχοντες τὴν ἐκ τῆς βώλου πρὸς διατροφὴν ἀναμένουσιν ἐπικαρπίαν. ἡμῖν δὲ οἷς βίος ἐν ὕδατι, θάνατος ἡ γῆ καθάπερ τοῖς ἰχθύσιν ἥκιστα δυναμένοις ἀναπνεῖν τὸν ἀέρα. τί δὴ οὖν

liberos habeamus. Quibus etsi nihil magni præstare ob inopiam possumus; hæc poterimus, & gratificabimur, ut fluctus decumanos, & maris pericula ignorent: ac in agricolatione educentur, & securam metuque carentem vitam amplectantur.

CYMOTHUS TRITONIDI. IV.

QUantum mare differt a tellure, tantum nos qui marina opera facimus, ab illis qui in urbibus & pagis habitant. Illi enim vel manentes intra portas, Remp. administrant: vel agris colendis dediti, fructus e gleba ad sustentationem vitæ expectant; nobis autem, quibus vita est in aqua, terra est mors, sicut piscibus minime valentibus respirare aërem.

παθοῦσα ὦ γύναι τὴν ἀκτὴν ἀπολιποῦσα καὶ τὰ νήματα τοῦ λίνου, ἄστυδε θαμίζεις, ὠσχοφόρια καὶ λήναια τοῖς πλουσίαις Ἀθηναίων συνεορτάζουσα; οὐκ ἔστι τοῦτο σωφρονεῖν οὐδὲ ἀγαθὰ διανοεῖσθαι. οὐχ οὕτω δέ σε ὁ πατὴρ ἐκ τῆς Αἰγίνης, οὗ τεχθῆναί σε καὶ τραφῆναι συνέβη, μυεῖσθαι ὑπ' ἐμοὶ γάμῳ παρέδωκεν. εἰ τὴν πόλιν ἀσπάζῃ χαῖρε, καὶ ἄπιθι. εἰς τὸν ἄνδρα εἰ τὰ ἐκ θαλάττης ἀγαπᾷς ἐπάνιθι, τὸ λῷον ἑλομένη. λήθη δέ σοι ἔστω μακρὰ τῶν κατ' ἄστυ τούτων ἀπατηλῶν θεαμάτων.

ΝΑΥΒΑΤΗΣ Ρ'ΟΘΙΟΣ.

Οἶει μόνος πλουτεῖν ὅτι τοὺς παρ' ἐμοὶ θηρεύοντας δελεάζων ἄγεις ὡς σεαυτὸν περιουσίᾳ μισθωμάτων, καὶ εἰκότως· σοὶ μὲν γὰρ ὁ βόλος ἡ-

Quid igitur tibi accidit conjux, quod relicto littore & lini ſtaminibus, urbem frequentas, Oſchophoria & Lenæa cum opulentis Athenienſium fœminis celebrans? Non eſt hoc ſapere, neque bona cogitare. Non ita te pater ex Aegina, ubi naſci te & educari contigit, ducendam mihi & nuptiis initiandam dedit. Si urbem amas, vale & abi; ad virum, ſi te marina delectant, redi, meliore parte electa: longaque tibi oblivio veniat fallacium iſtorum in urbe ſpectaculorum.

NAVBATES RHOTHIO. V.

PUtas ſolum te divitiis affluere, quod eos qui apud me piſcantur, ineſcando ad te traducis copia mercedis. Et merito; tibi nam-

νεγκε πρώην χρυσοῦ κόμματα Δαρεικοῦ τῆς ἐπὶ Σαλαμῖνι ναυμαχίας ἴσως λείψανα, καταδύσης οἶμαι νηὸς Περσικῆς αὐτοῖς ἀνδράσι καὶ αὐτοῖς χρήμασιν, ὅτε ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων Θεμιστοκλῆς ὁ τοῦ Νεοκλέους ἦρατο τὸ μέγα κατὰ Μήδων τρόπαιον. ἐγὼ δὲ ἀγαπῶ τὴν τῶν ἀναγκαίων εὐπορίαν ἐκ τῆς καθημερινῆς ἐργασίας τῶν χειρῶν πορίζόμενος· ἀλλ' εἰ πλουτεῖς, σὺν δικαίῳ πλούτει· γινέσθω δέ σοι ὁ πλοῦτος, μὴ κακίας ἀλλὰ καλοκἀγαθίας ὑπηρέτης.

ΠΑΝΟΠΗ ΕΥΘΥΒΟΥΛΩι.

Ἤγαγου με ὦ Εὐθύβουλε οὐκ ἀπεξυμμένην γυναῖκα οὐδὲ μίαν τῶν ἀσήμων, ἀλλ' ἐξ ἀγαθοῦ μὲν πατρὸς ἀγαθῆς δὲ μητρὸς γεγονυῖαν. Σωσθένης ὁ Στειριεὺς ἦν μοι πατὴρ, καὶ Δαμοφύλη

que jactus nuper monetas auri Darici tulit, Salaminii fortaſſe prælii navalis reliquias: ſubmerſa ut puto nave Perſica una cum viris, & una cum opibus; quando Majorum noſtrorum memoria Themiſtocles Neoclis F. erexit magnum illud contra Medos tropæum. Ego vero contentus ſum, ſi rerum neceſſariarum copiam quotidiano manuum labore acquiram. Sed ſi es dives, cum juſti obſervatione eſto dives: ſitque tibi opulentia non malitiæ, ſed probitatis miniſtra.

PANOPE EVTHYBVLO. VI.

DUxiſti me, Euthybule, non abjectam mulierem, neque de ignobilium grege unam, ſed honeſto patre honeſtaque matre prognatam; Soſthenes Stirienſis erat mihi pater, &

μήτηρ, εἴ με ἐγγυητὴν ἐπίκληρον ἐπὶ παίδων ἀρρένων γνησίων συνῆψάν σοι γάμῳ. σὺ δὲ ῥᾴδιος ὢν τὼ ὀφθαλμὼ καὶ πρὸς πᾶσαν ἡδονὴν ἀφροδισίων κεχυμένος, ἀτιμάσας ἐμὲ καὶ τὰ κοινὰ παιδία, Γαλήνης τῆς Θαλασσίωνος ἑρᾶς τῆς Ἑρμιονίτιδος μετοίκου, ἣν ἐπὶ κακῷ τῶν ἐρώντων ὁ Πειραιεὺς ἐδέξατο. κωμάζουσι γὰρ πρὸς αὐτὴν ἡ πρὸς θάλασσαν νεολαία, καὶ ἄλλος ἄλλο δῶρον ἀποφέρει· ἡ δὲ εἰσδέχεται, καὶ ἀναλοῖ Χαρύβδεως δίκην. σὺ δὲ ὑπερβαίνων τὰς ἁλιευτικὰς δωροφορίας, μαινίδας μὲν ἢ τρίγλας οὔτε φέρεις οὔτε θέλεις διδόναι· ἀλλ' ὡς ἀφιλικέστερος καὶ γυναικὶ πάλαι συνὼν καὶ παιδίων οὐ μάλα νηπίων πατὴρ, παραγκωνίσασθαι τοὺς ἀντεραστὰς βουλόμενος, κεκρυφάλους Μιλησίους, καὶ Σικελικὸν ἱμάτιον, καὶ ἐπ' αὐτῷ χρυσίον εἰσπέμπεις. ἢ οὖν πέ-

Damophyla mater, qui me desponsatam, ex asse hæredem, ad procreandos genuinos liberos tibi matrimonio conjunxerunt. At tu oculis levis & inconstans, ad omnemque effusus Venereum voluptatem, me & communibus liberis neglectis, Galenen Thalassionis amas filiam, Hermionensem illam, hujus loci inquilinam, quam amantium malo Piræeus excepit; eunt enim ad eam comessatum maritima juventus, aliusque aliud donum affert; at illa accipit, & Charybdis more consumit. Tu vero transgrediens piscatorias donorum oblationes, mænas aut mullos neque fers illi, neque donare vis; sed, utpote provectior ætate, & jam olim uxoratus, atque liberorum non admodum infantium pater, oppositio cubito rivales arcere cupiens, reticula Milesia, vestemque Siculam, atque insuper aurum ad eam mittis. Aut igitur

παυσο τῆς ἀγερωχίας καὶ τοῦ λάγνος εἶναι καὶ θηλυμανὴς ἀπόσχου, ἢ ἴσθι με παρὰ τὸν πατέρα διηχησομένην· ὃς οὐδ' ἐμὲ περιόψεται· καὶ σὲ γράψεται παρὰ τοῖς δικασταῖς κακώσεως.

ΘΑΛΑΣΣΟΣ ΠΟΝΤΙΩι.

Ἔπεμψά σοι ψίτταν καὶ σανδάλιον καὶ κεφέα καὶ κήρυκας πέντε καὶ τριάκοντα. σὺ δέ μοι τῶν ἐρετμῶν δύο πέμψον, ἐπειδὴ τἀμὰ κατέαγετο. ἀντίδοσις γὰρ, ἡ παρὰ φίλων εἰς φίλους. ὁ γὰρ προχείρως καὶ θαρσαλέως αἰτῶν, εὔδηλός ἐστιν ὡς ἅπαντα κοινὰ τὰ πρὸς τοὺς φίλους καὶ τὰ τῶν φίλων ἔχειν ἡγούμενος.

omitte istam insolentiam, & a libidine insanoque mulierum amore desiste: aut me ad patrem discessuram scito; qui neque me negliget, & tibi malæ tractationis crimen apud judices intendet.

THALASSVS PONTIO. VII.

MIsi tibi psittam & sandalium, & mugilem & murices triginta quinque; Tu contra duos mihi remos mittas, quoniam mei fracti sunt; nam remunerationis est loco, quod ab amicis ad amicos proficiscitur. qui enim audacter & confidenter petit, is planum facit se existimare omnia apud amicos esse communia; seque habere ea, quæ amicorum sunt.

ΕΥΚΟΛΥΜΒΟΣ ΓΛΑΥΚΗ.

Οἱ τὴν γνώμην ἀμφίβολοι τὴν παρὰ τῶν εὐνοούντων κρίσιν ἐκδέχονται. κἀγὼ τὰ πολλὰ ταῖς ὥραις διαλαλήσας, οὐδὲ γὰρ οὐδὲν πρὸς σὲ ἐθάῤῥουν ὦ γύναι, νῦν ἐξαγορέυω, καὶ δέομαι τὸ λῷον εὑρημένην συμβουλεῦσαι. ἄκουε δὲ ὡς ἔχει, καὶ πρὸς ὅ, τι σε δεῖ τὴν γνώμην ἐξενεγκεῖν. τὰ ἡμέτερα ὡς οἶσθα παντελῶς ἐστιν ἄπορα, καὶ βίος κομιδῇ ξενός· τρέφει γὰρ οὐδὲν ἡ θάλασσα. ὁ λέμβος οὖν ὃν ὁρᾷς ὁ κωπήρης, τοῖς πολλοῖς ἐρέταις κατηρτυμένος, Κωρύκιον τὸ σκάφος, λῃσαὶ δὲ θαλάσσης τὸ ἐν ἀυτῇ σύστημα. οὗτοί με κοινωνὸν ἐθέλουσι λαβεῖν τοῦ τολμήματος, πόρους ἐκ πόρων ἐυμεγέθεις ὑπισχνούμενοι. πρὸς μὲν οὖν τὸν χρυσὸν ὃν ἐπαγγέλλονται καὶ τὴν ἐσθῆτα κέχη-

EVCOLYMBVS GLAVCÆ. VIII.

QUi animo ſunt dubii judicium a benevolentibus expectant. Ego etiam, ad auras multa locutus, (neque enim ad te quicquam, mea uxor, audebam) nunc enuncio, petoque ut ſi quid melius inveneris, conſilio me adjuves. Audi jam quemadmodum ſe res habeat, & de quo te oporteat ſententiam ferre. Noſtra res ut ſcis, eſt prorſus tenuis, & victus admodum anguſtus; nam alimonia non præſtat mare. Lembus igitur ille quem vides remis inſtructum multisque remigibus, ille inquam Corycius eſt linter: ſunt autem qui in eo convenerunt piratæ; iſti me ſocium volunt adſciſcere ſuſcepti facinoris, alias opes ex aliis ingentes pollicentes. Equidem auro quod promittunt, & veſtibus inhio; at homicida ut ſiam

ναι· ἀνδροφόνος δὲ οὐχ ὑπομένω γενέσθαι, οὐδὲ μιᾶναι λύθρῳ τὰς χεῖρας, ἃς ἡ θάλαττα ἐκ παιδὸς εἰς δεῦρο καθαρὰς ἀδικημάτων ἐφύλαξε. μένειν δὲ πενίᾳ συζῶντα χαλεπὸν καὶ οὐ φορητόν. τούτων σὺ τὴν αἵρεσιν ταλαντεύῃ· ὅπου γὰρ ἂν ῥέψῃς ὦ γύναι ἅπαξ ἐκεῖσε ἀκολουθήσω. ἀποκόπτειν γὰρ ἔωθε γνώμην ἡ τῶν φίλων συμβουλὴ ἀμφίβολον.

Α'ΙΓΙΑΛΕΤ'Σ ΣΤΡΟΤΘΙ'ΩΝΙ.

Βά'λλ' ἐς μακαρίαν. ὡς ἐναντίως ἡμῖν, καὶ κατὰ τὴν παροιμίαν ἐπὶ τὰ Μανδροβούλου χωρεῖ τὰ πράγματα. τὸ μὲν γὰρ ἐπὶ λεπτῶν κερμάτων ἀποδίδοσθαι καὶ ὠνεῖσθαι τὰ ἐπιτήδεια, λιμηρὰν φέρει τὴν παραμυθίαν. ὥρα οὖν γε συμπράττοντα ἡμῖν, ὦ Στρουθίων, τὴν παρ' ἡμῶν ἐξ

non ſuſtineo, neque ut contaminem cruore manus, quas mare a puero usque adhuc ſceleris puras conſervavit: in egeſtate autem perſeverare grave eſt & intolerabile. Horum tu electionem quaſi in æquilibrio jam tenes; quocunque enim propenderis, mea conjux, eo ſequar. ſolet enim ambiguam ſententiam amicorum conſilium præcidere.

ÆGIALEVS STRVTHIONI. IX.

FAceſſe in malam rem! quam contrario modo nobis, & ſecundum proverbium, Mandrobuli more procedunt negotia. Nam vilibus terunciis vendi atque emi res neceſſarias, id famelicam affert conſolationem. Tempus itaque eſt ut operam tuam nobiſcum communi-

ἂν ἂν ἡ θάλαττα περίζῃ παραμυθίαν ἐνδέχεσθαι. βούλομαι δὲ πρὸς ἕνα ἢ δεύτερον τουτωνὶ τῶν λακκοπλούτων διὰ σοῦ πρεξένου ἢ πρὸς Ἐρασικλέα τὸν Φρίττιον ἢ πρὸς Φιλόστρατον τὸν Χολαργέα δικέως ἔχειν ὡς αὐτὸς ἐπὶ τῶν Φερνέων κομίζειν αὐτῷ τοὺς ἰχθύας. πάντως γὰρ πρὸς τῇ καταβολῇ τἀργυρίου ἔσαι παρ' αὐτῷ τις παραμυθία Διονυσίων ἢ ἀπατουρίων τελουμένων. καὶ ἄλλως ἐκ τῆς πικρᾶς τῶν ἀγορανόμων ἐξελοῦνται ἡμᾶς χειρὸς, ὁι καθεκάστην ἐπὶ τῷ σφετέρῳ κέρδει κερδαίνειν, εἰς τοὺς ἀπράγμονας ἐμφορῦσιν ὕβρεις. πολλοῦ δὲ δύνασθαι τοὺς παρασίτους ὑμᾶς παρὰ τοῖς νέοις καὶ πλουσίοις οὐ λόγος ἀλλ' ἔργον ἔδειξεν.

ces, mi Struthio, & à nobis ſolatium ex iis quæ mare ſuppeditat expectes. Volo autem apud unum atque alterum iſtorum opulentiorum, vel apud Eraſiclem Sphettium illum, vel apud Cholargenſem Philoſtratum, te parario me inſinuare, ut ipſe in ſportis piſces ad eum deferam; nam omnino præter ſolutionem argenti erit inſuper nonnihil ſolatii nobis apud eum cum Bacchanalia aut Apaturia celebrantur. Præterea nos ab acerba forenſium Inſpectorum manu liberabunt, qui quotidie ut ſuum lucrum promoveant, injuriis afficiunt litium oſores. Multum autem valere vos Paraſitos apud juvenes & divites, non dicta ſed facta oſtenderunt.

ΚΕΦΑΛΟΣ ΠΟΝΤΙΩι.

Τὴν μὲν θάλατταν ὡς ὁρᾷς Φρίκη κατέχει, καὶ τὸν οὐρανὸν ὑποβέβηκεν ἀχλύς. καὶ πάντα πανταχόθεν συννέφελα. καὶ οἱ ἄνεμοι πρὸς ἀλλήλους ἀρασσόμενοι ὅσον οὔπω κυκήσειν τὸ πέλαγος ἐπαγγέλλονται. ἀλλὰ καὶ οἱ δελφῖνες ἀνασκιρτῶντες καὶ τῆς θαλάττης ἀνοιδουμένης λείως ἐφαλλόμενοι, χειμῶνα καὶ τάραχον ἐπιόντα μηνύουσι. ταύρου δέ φασιν ἐπιτολὴν κατ' οὐρανὸν οἱ τὰ μετέωρα δεινοὶ τανῦν ἐξᾶναι. πολλάκις οὖν σώζονται ὑπ' ἀσφαλείας οἱ προθυμούμενοι φυλάξασθαι τὸν κίνδυνον. εἰσὶ δὲ οἱ παραδόντες ἑαυτοὺς ἅπαξ τῷ πελάγει ὑπ' ἀμηχανίας τῇ τύχῃ τοὺς οἴακας ἐπιτρέψαντες φέρεσθαι. ὅθεν ἀκούομεν τοὺς μὲν κατὰ τὸ Μαλέου ἀκρωτήριον, τοὺς δὲ κατὰ τὸν Σικελικὸν πορθμὸν, ἄλλους δὲ εἰς

CEPHALVS PONTIO. X.

MAre uti vides inhorreſcit, cœlumque ſubiit caligo, & ex omni parte ſunt omnia nubila, ventique inter ſeſe conflictantes, jam jam ſe perturbaturos mare promittunt. Sed & delphines ſubſultantes, atque intumeſcenti mari ſuperſilientes lubrico motu, tempeſtatem & turbas ingruentes ſignificant. Tauri ortum in cœlo ajunt, qui rerum cœleſtium ſunt gnari, nunc inſtare. Plerumque igitur incolumes ſervantur in ſecuritate, qui ſtudent evitare periculum. Sunt autem ii, qui ſe ſemel pelago commiſerunt in anguſtiis, ſi fortunæ gubernacula commiſerint ut vehantur. Unde audimus, alios apud Maleæ promontorium, alios in freto Siculo, alios in Lyciaco pe-

τὸ Λυκιακὸν πέλαγος ῥύμῃ Φερομένους ἐπωκείλειν ἢ καταδύεσθαι. ἔστι δὲ οὐδὲν τούτων πρὸς χειμῶνα καὶ κίνδυνον ὁ Καφηρεὺς ἐπιεικέστερος. ἀναμείναντες οὖν ἀπολῆξαι τὸ κλυδώνιον καὶ καθαρὰν αἴθριαν γενέσθαι ἀέρι, νοσήσομεν ἄχρι καὶ αὐτοῦ τοῦ Καφηρέως τῶν ἀκτῶν. ἵν' εἴπου τι τῶν ἐκ ναυαγίας ἀποπτυσθὲν εὑρεθείη σῶμα, τοῦτο περιξείλαντες ταφῇ καλύψωμεν. οὐ γὰρ ἄμισθον τὸ εὖ ποιεῖν κἂν μὴ παραχρῆμα τῆς εὐεργεσίας ἡ ἀντίδοσις φαίνηται. τρέφει δὲ οὐδὲν ἧττον τοὺς ἀνθρώπους πρὸς τοῖς ἐλπιζομένοις ἀγαθοῖς, καὶ διαχεῖ τὴν καρδίαν τὸ συνειδός· καὶ μάλισθ' ὅταν εἰς τοὺς ὁμοφύλους οὐκ ἔτ' ὄντας τὴν εὐποιΐαν καταβάλλωνται.

lago cum impetu actos impingere, aut ſubmergi. eſt autem his nihilo æquior ad tempeſtates & pericula Caphareus. Itaque ubi expectaverimus donec ſedati fuerint fluctus, & pura ſerenitas facta fuerit, vagabimur usque ad ipſius Capharei littora. ut ſi quod alicubi ex naufragio ejectum inveniatur cadaver, id compoſitum ſepulturæ mandemus. Non enim caret mercede beneficentia, etiamſi non ſtatim beneſacti compenſatio appareat. alit autem nihilominus homines, præter ſperata bona, diffunditque cor conſcientia: maximeque cum in gentiles defunctos beneficium contulerint.

ΘΥΝΝΑΪΟΣ ΣΚΟΠΕΛΩΙ.

Ἀκήκοας ἀκουσμάτων βαρυτάτων ὦ Σκόπελε σόλον Ἀθηναῖοι διανοοῦνται πέμπειν εἰς τὴν ὑπερορίαν, ναυμαχεῖν ἐθέλοντες. καὶ ἤδη μὲν ἡ πάραλος καὶ ἡ Σαλαμινία αἱ μάλιστα ταχυναυτοῦσαι πρόδρομοι λύουσι τῶν ἡιόνων τὰ πρυμνήσια, τοὺς μαςῆρας οἳ μέλλουσιν ἐπαγγέλλειν παρ' οὗ καὶ ὅτε δεῖ ἀπιέναι πολεμήσοντας ἐνθέμεναι. χρεία ταῖς λοιπαῖς ναυσὶ τὸ στρατιωτικὸν τάγμα δεχομέναις ἐρετῶν πλειόνων καὶ οὐχ ἥκιστα ἐμπείρων ἀνέμοις καὶ κύμασιν ἀπομάχεσθαι. τί οὖν ὦ βέλτιστε δρῶμεν, φεύγομεν ἢ μένομεν; ἀνδρολογοῦσι δ' ἐκ Πειραιῶς καὶ Φαληρόθεν καὶ Σουνίου καὶ μέχρι τῶν ἐν Γεραιςῷ προσοίκων ὁρίων τοὺς τῆς θαλάττης ἐργάτας. πῶς δὲ καὶ ἡμεῖς εἰ μὴ δὲ τὴν ἀγορὰν εἰδότες ὑπομεί-

THYNNÆVS SCOPELO. XI.

Audiviſti famam graviſſimam o Scopele? Claſſem Athenienſes in animo habent mittere in exteram regionem, prœlio navali decernere cupientes. Atque jam Paralos & Salaminia naves velociſſimæ, prævia ſolvunt à littoribus rudentes, Inquiſitoribus, qui nunciaturi ſunt unde & quando oporteat exire ad bellum, impoſitis. Reliquis navibus quæ militarem aciem accipiunt, opus eſt pluribus remigibus, & quam maxime peritis ut cum ventis & fluctibus decertare poſſint. Quid igitur, o bone, facimus? fugimusne an manemus? Colligunt autem & conſcribunt ex Piræeo & Phalero atque Sunio, etiam usque ad fines accolarum Gereſti, eos qui in mari opus faciunt.

nau-

καιμὲν παρατάττεσθαι, καὶ ὁπλομάχοις ἀνδράσιν ὑπηρετεῖσθαι. δυοῖν δὲ ὄντοιν χαλεποῖν τοῦ τε φεύγειν ἐπὶ τέκνοις καὶ γυναιξὶ, τοῦ τε μέλλειν ξίφεσιν ὁμοῦ καὶ θαλάττῃ παραδιδόναι τὸ σῶμα, τοῦ μένειν ὄντος ἀλυσιτελοῦς, τὸ φεύγειν ἐφάνη λυσιτελέστερον.

ΝΑΥΣΙΒΙΟΣ ΠΡΥΜΝΑΙΩι.

Ἠγνόουν ὅσον εἰσὶ τρυφερὰ καὶ ἀβρόβια τῶν Ἀθήνησι πλουσίων τὰ μειράκια. ἔναγχος δὲ Παμφίλου μετὰ τῶν συνηλικιωτῶν μισθουμένου τὸ σκαφείδιον ὡς ἂν ἔχῃ γαληνιῶντος τοῦ πελάγους περιπλεῖν ἅμα καὶ συμμετέχειν ἡμῖν τῆς ἄγρας τῶν ἰχθύων, ἔγνων ἡλίκα αὐτοῖς ἐκ τῆς θαλάττης περίζεται τρυφήματα. οὐ γὰρ ἀνεχόμενος τῶν ξύλων τῆς ἁλιάδος ἕς τε ταπήτων

Quomodo vero nos etiam, qui ne forum quidem novimus, ſuſtineamus collocari in acie, & armatis viris inſervire? Cum autem duo adſint mala, fugere nempe, idque cum liberos & uxores habeamus, corpusque gladiis ſimul & mari offerre; cum manere ſit inutile, fugere viſum eſt utilius.

NAVSIBIVS PRYMNÆO. XII.

NEſciebam quam eſſent luxurioſi & delicati Athenis divitum adoleſcentuli. Nuper vero, cùm Pamphilus cum æqualibus navigium meum pretio conduceret, ut poſſet tranquillo mari circumnavigare ſimul, & particeps eſſe nobiſcum capturæ piſcium; cognovi quantæ ipſis terra marique acquirantur deli-

τινῶν ξενικῶν καὶ ἐφεσρίδων κατακλινεὶς, οὐ γὰρ οἷός τε ἔφασκεν εἶναι κεῖσθαι ὡς ὁι λοιποὶ ἐπὶ τῶν καταστρωμάτων, τὴν σανίδα οἶμαι νομίζων λίθου τραχυτέραν, ἤτει παρ' ἡμῶν σκιὰν αὐτῷ μηχανήσασθαι, τὴν τοῦ ἱστίου σινδόνα ὑπερπετάσαντας, ὡς οὐδαμῶς οἷός τε ὢν φέρειν τὰς ἡλιακὰς ἀκτῖνας. ἡμῖν δὲ οὐ μόνον τοῖς ταύτην ποιουμένοις τὴν ἐργασίαν, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς ὅσοις μὴ περιουσία πλούτου πρόσεστι σπουδάζεται, ἔστιν οὗ δυναμένοις τῇ ἴλῃ θέρεσθαι. ἐν ἴσῳ γὰρ κρυμὸς καὶ θάλαττα. φερομένων δὲ ἅμα οὐ μόνος οὐδὲ μετὰ μόνων τῶν ἑταίρων ὁ Πάμφιλος, ἀλλὰ καὶ γυναίων αὐτῷ περιττῶν τὴν ὥραν πλῆθος συνείπετο, μυσουργοὶ πᾶσαι. ἡ μὲν γὰρ ἐκαλεῖτο Κρουμάτιον, καὶ ἦν αὐλητρίς. ἡ δὲ Ἐρατὼ,

tiæ. Impatiens enim lignorum piſcatoriæ naviculæ, in tapetibus quibusdam peregrinis & ſagulis recumbens; (non enim ſe poſſe dicebat cubare quemadmodum reliqui in tabulatis, aſſerem opinor lapide aſperiorem putans) petebat à nobis ut umbram ſibi faceremus veli linteo ſuperne extenſo: ut qui minime poſſet ferre ſolares radios. Nobis vero *contra* non tantum qui hoc opus facimus, ſed omnibus omnino quibus copia divitiarum non adeſt, curæ eſt, ſicubi poſſimus apricari; nam glaciale frigus & mare paria ſunt. Cum autem veherentur una, (non ſolus, neque cum ſolis ſodalibus Pamphilus; ſed & muliercularum ætate formaque præſtantium ſequebatur eum multitudo, muſicam tractantes omnes: alia enim vocabatur Crumation, eratque tibicina; alia Erato, & pſalterium tractabat; alia Evepes, quæ cymbala pulſabat) *hæ* igitur *cum una veherentur*, erat mihi muſi-

καὶ ψαλτήριον μετεχειρίζετο. ἄλλη δὲ Εὐεπὴς, ἄυτη δὲ κύμβαλα ἐπεκρότει. ἐγένετο οὖν μοι μουσικῆς ἡ ἄκατος πλέα, καὶ ἦν ᾠδικὸν τὸ πέλαγος καὶ πᾶν θυμηδίας ἀνάπλεων. πλὴν ἐμέ γε ταῦτα οὐκ ἔτερπεν. οὐδὲ γὰρ οὐκ ὀλίγοι τῶν ὁμοβίων καὶ μάλιστα ὁ πικρὸς Λαυκίας Τελχῖνος ἦν μοι βασκαίνων βαρύτερος. ἐπεὶ δὲ τὸν μισθὸν πολὺν κατεβάλετο, ταργυρίον με διέχει· καὶ νῦν ἐκείνου τοὺς ἐπιθαλαττίους ἀγαπῶ κώμους. καὶ τοιοῦτον δεύτερον ἐπισῆναί μοι ποθῶ δαπανηρὸν καὶ πολυτελῆ νεανίσκον.

ΑΥΤΧΕΝΙΟΣ ΑΡΜΕΝΙΩΙ.

Εἰ μέν τι δύναται συμπράττειν, καὶ δῆτα λέγε πρός με οὐ πρὸς ἑτέρους ἔκπυστα ποιῶν τὰμά. εἰ δὲ μηδὲν οἷός τε ὠφελεῖν, γενοῦ μοι

ca refertum navigium, & mare cantu resonabat, totumque erat lætitiæ plenum. Verum tamen me hæc non delectabant: neque enim pauci ex consortibus ejusdem victus, maximeque acerbus ille Laucias, invidendo erat mihi Telchine molestior. Postquam vero *Pamphilus* multam mercedem numeravit, pecunia me diffudit & exhilaravit: & nunc illius marinas comessationes amo: atque ejusmodi alium dari mihi cupio sumptuosum & magnifice præbentem adolescentem.

AVCHENIVS HARMENIO. XIII.

SI quid potes me adjuvare, dic sane mihi, nec aliis res meas enunciato: sin nihil potes juvare, sis mihi nunc Areopagita taciturnior. Ego

τανῦν Ἀρεισπαγίτου θεγανώτερος. ἐγὼ δὲ ὅπη ποτὲ τἀμά σοι διηγήσομαι, ἔρως με οὐκ ἐᾷ παρεμπεσὼν ὑπὸ τοῦ λογισμοῦ κυβερνᾶσθαι, ἀλλὰ τὸ νῆφον ἐν ἐμοὶ συνεχῶς ὑπὸ τοῦ πάθους βυθίζεται. πόθεν γάρ ποτε εἰς ἁλιέα δύσηνον ἀγαπητῶς τὴν ἀναγκαίαν ἐκπορίζοντα διατροφὴν ἔρως ἐνέσκηψε, καὶ ἐνταυθοῖ οὐκ ἀνίησιν, ἀλλ' ὅσας τοῖς πλουσίοις καὶ ὡρικοῖς νεανίσκοις Φλέγομαι. καὶ ὁ ποτὲ γελῶν τοὺς ἐκ τρυφῆς πάθει δουλεύοντας, ὅλος εἰμὶ τοῦ πάθους, γαμήσειω νῦν καὶ τὸν Ὑμέναιον ἐκφαντάζομαι τὴν παῖδα τῆς Τερψιχόρης· ἔστι δὲ ἡ παῖς εἰς ἔρωτα, τῶν μετοίκων θυγάτριον τῶν ἐξ Ἑρμιόνης οὐκ οἶδ' ὅπως εἰς Πειραιᾶ φθαρέντων. ἄλλην μὲν οὖν δοῦναι προῖκα οὐκ ἔχω. ἐμαυτὸν δὲ δείξας οἷος εἰμὶ θαλαττουργὸς, εἰ μὴ μαίνοιτο ὁ ταύτης πατὴρ, οἶμαι παρέξειν ἐπιτήδειον νυμφίον.

vero utcumque ſtatum meum tibi narrabo. Amor me poſtquam invaſit. non ſinit a ratione gubernari, ſed id quod ſobrium & ſanum in me eſt, ab affectu ſubmergitur. Enimvero unde in piſcatorem miſerum, qui vix neceſſarium victum acquirit, amor impetum fecit, & inhærens non remittit; ſed æque ac divites & elegantes adoleſcentuli ardeo; & qui aliquando ridebam eos, qui præ mollitia affectui ſervirent, totus ſum in illius poteſtate. Jam nuptias expeto, & Hymenæum cogito Terpſichoræ filium. Eſt autem puella quam amo, inquilinorum eorum filia, qui Hermionâ neſcio quomodo evaſerunt in Piræeum. Aliam equidem dotem adferre non poſſum, ſed meipſum oſtendens ut ſum piſcator, niſi pater ejus inſaniat, idoneum me ut puto ſponſum præſtabo.

ΕΓΚΥΜΩΝ ΑΛΙΚΤΥΠΩΙ.

Ἡρόμην ἰδὼν ἐπὶ τῆς ἠιόνος τῆς ἐν Σουνίῳ παλαιὸν καὶ τετρυχωμένον δίκτυον, ὅτου εἴη. καὶ τίνα τρόπον οὐκ ἐξογκούμενον ἀποσχισθὲν, ἤδη δὲ καὶ ὑπὸ χρόνου παλαιότητος διερρωγὸς ἀπέκειτο. οἱ δὲ ἔφασαν σὸν κτῆμα γεγονέναι πρὸ τούτων τεττάρων ἐτῶν. εἶθ' ὑφάλῳ προσομιλῆσαν πέτρᾳ, κατὰ μέσον ἀποσχισθῆναι τῶν πλεγμάτων· σοῦ δὲ ἐξ ἐκείνου μήτε ἀνέσασθαι, μήτε ἀνελέσθαι βουληθέντος μεῖναι, μηδενὸς τῶν περιοικούντων ὡς ἀλλοτρίου θιγγάνειν ἐπιχειρήσαντες. ἐγένετο οὖν οὐκ ἐνοίκων μόνον, ἀλλὰ καὶ σοῦ τοῦ ποτὲ δεσπότου λοιπὸν ἀλλότριον. αἰτῶ οὖν σε τὸ τῇ φθορᾷ τῷ χρόνῳ μὴ σόν. σὺ δ' ὁ παντελῶς ἀπολείᾳ προσένειμας, ἥκιστα ζημιούμενος, ἕτοιμος ἔστο πρὸς τὴν δόσιν.

ENCYMON HALICTYPO. XIV.

CUm vidiſſem in littore Sunii vetus & lacerum rete, quæſivi cujus eſſet; & quodammodo non mole tantum fiſſum: ſed jam & temporis vetuſtate ruptum jacebat. Illi autem dicebant in tuo id fuiſſe peculio ante hos quatuor annos: deinde cum ſub undis latenti adhæſiſſet petræ, in medio nexuum fuiſſe diſſiſſum; cum autem tu ex illo tempore neque tarcire, neque id auferre volueris, manſiſſe: nemine ex circumhabitantibus tanquam alienum attingere auſo. Factum igitur eſt non incolis ſolum, ſed & tibi poſſeſſori alienum. Peto itaque abs te, quod corruptum longo tempore, tuum non eſt. Tu vero in eo quod prorſus interitui addixiſti damnum non faciens, promptus eſto ad donationem.

Α'ΛΙ'ΚΤΤΠΟΣ 'ΕΓΚΤ'ΜΟΝΙ.

Δυσμενὴς καὶ βάσκανος ὁ τῶν γειτόνων ὀφθαλμὸς, φησὶν ἡ παροιμία. τίς γάρ σοι τῶν ἐμῶν φροντίς; τί δὲ τὸ παρ' ἐμοῦ ῥαθυμίᾳ ἠξιωμένον, κτῆμα σὸν εἶναι νομίζεις; εἶργε τὰς χεῖρας, μᾶλλον δὲ τὰς ἀπλήστους ἐπιθυμίας. μὴ δέ σε ἡ τῶν ἀλλοτρίων ὄρεξις ἀδίκους αἰτεῖν χάριτας ἐκβιαζέσθω.

'ΕΓΚΤ'ΜΩΝ. 'ΑΛΙΚΤΤ'ΠΩι.

Οὐκ ᾔτησά σε ἃ ἔχεις, ἀλλ' ἃ μὴ ἔχεις. ἐπεὶ δὲ οὐ βούλει ἃ μὴ ἔχεις ἕτερον ἔχειν, ἔχε ἃ μὴ ἔχεις.

HALICTYPVS ENCYMONI. XV.

MAlevolus & invidus vicinorum oculus, inquit proverbium. Quid enim tibi mea curæ ſunt? cur vero quod ego negligenter habeo, tu in tuis poſſeſſionibus numeras? Abſtine manus, immo inexplebiles cupiditates. Neque te rerum alienarum cupiditas ad petendum injuſtum donum impellat.

ENCYMON HALICTYPO. XVI.

NOn petii abs te quæ poſſides, verum quæ non poſſides. Quoniam vero non vis, ut, quæ minime tu poſſides, hæc alius poſſideat; habe ſane quæ non habes.

ΕΥΣΑΓΗΝΟΣ ΛΙΜΕΝΑΡΧΩι.

Οὐκ ἐς κόρακας φθαρήσεται ὁ σκοπισῦργος ὁ Λέσβιος; Φρίκη σκιερὰν κατὰ μέρος τὴν θάλατταν ἀνεβόησεν, ὡς πλήθους ὅλου προσιόντος θύννων ἢ πηλαμίδων. καὶ ἡμεῖς πεισθέντες, τῇ σαγήνῃ μονευσυχὶ τὸν κόλπον ὅλον περιελάβομεν, εἶτα ἠνιώμεθα, καὶ τὸ βάρος μεῖζον ἦν ἢ κατὰ Φορτίον ἰχθύων. ἐλπίδι οὖν καὶ τῶν πλησίον τινὰς ἐκαλοῦμεν μεριδὰς ἀποφαίνειν ἐπαγγελλόμενοι εἰ συλλάβοιντο ἡμῖν καὶ συμπονήσαιεν. τέλος μόγῳ πολλῷ δείλης ὀψίας ἐυμεγέθη κάμηλον ἐξειλκύσαμεν μυδῶσαν ἤδη καὶ σκώληξιν ἐπιβρύουσαν. τοιαῦτα θηράσας, οὐχ ἵνα ἐπιγελάσῃς ἐδήλωσα, ἀλλ' ἵνα μάθῃς αἷς καὶ πόταις μηχαναῖς ἡ τύχη με τὸν ἀτυχῆ καταγωνίζεται.

EVSAGENVS LIMENARCHO. XVII.

NOnne ad corvos faceſſet ſpeculator Lesbius? Horrore umbroſum ex parte eſſe mare exclamavit, quaſi omnis turba veniret thunnorum & pelamidum. Atque nos ei fidem habentes verriculo fere totum ſinum circumdedimus. Deinde ſoliciti eramus: & pondus erat majus quam pro piſcium onere. Spe igitur *moti*, etiam ex proximis aliquos vocabamus, nos eos participes facturos promittentes, ſi nobis opem ferrent & una laborarent. Ad extremum magno niſu circa veſperam ingentem camelum extraximus, jam putreſcentem & vermibus ſcatentem. Hanc piſcationem, non ut rideres tibi ſignificavi, ſed ut cognoſceres quibus & quot machinis Fortuna me infortunatum impugnet.

Ε'ΥΠΛΟΟΣ ΘΑΛΑΣΣΕ'ΡΩΤΙ.

Ὑπερμαζᾷς ἢ μέμηνας. ἀκούω γάρ σε λοιδόρου γυναικὸς ἐρᾶν. καὶ ὡς ἐκείνης φθειρόμενον, πᾶσαν τὴν ἐφήμερον ἄγραν κατατίθεσθαι. ἀπήγγειλέ γάρ μοι τοῦτο γειτόνων ὁ βέλτιστος Σωσίας. ἔστι δὲ τῶν ἐπιεικῶς τὴν ἀλήθειαν τιμώντων, καὶ οὐκ ἄν ποτε ἐκεῖνος εἰς ψευδηγορίαν ὠλίσθησεν. οὗτος ἐκεῖνος Σωσίας ὁ τὸν χρηστὸν καὶ ἡδὺν γάρον ἑψῶν ἐκ τῶν λεπτοτέρων ἰχθύων οὓς ἐγκολπίζεται τῇ σαγήνῃ. πόθεν οὖν εἰπέ μοι μουσικῆς σοι διάτονον καὶ χρωματικὸν καὶ ἐναρμόνιον μέλος ἐσίν; ὡς αὐτὸς ἔφασκεν ἀπαγγέλλων. ὁμοῦ γὰρ τῇ ὥρᾳ τῆς παιδίσκης ἡράσθης καὶ τοῖς κρούμασι. πέπαυσο εἰς ταῦτα δαπανώμενος, μή σε ἀντὶ τῆς θαλάττης ἡ γῆ ναυηγὸν ἀποφήνῃ ψιλώσασα τῶν χρημάτων, καὶ

EVPLOVS THALASSEROTI. XVIII.

LAscivis præ saturitate, aut insanis. audio enim te Lyricam mulierem amare, & ad illam itiones damnosas instituendo, quotidianam piscationem missam facere. Nunciavit enim hoc mihi vicinorum optimus Sosias. Est autem is ex iis qui admodum observant veritatem, & non facile in mendacium laberetur. Is ipse Sosias qui bonum illud & suave liquamen coquit ex minutioribus piscibus, quos verriculo insinuat. Unde igitur, dic mihi, Musices tibi diatonum & chromaticum & enarmonium carmen? quemadmodum ipse dicebat hæc nuncians. Simul ergo cum forma adamasti puellam & cum modulationibus. Desine in hæc sumptus impendere, ne pro mari terra te naufragum

γένηται σοι τὸ τῆς ψαλτρίας καταγώγιον ὁ Καλυδώνιος κόλπος ἢ τὸ Τυρρηνικὸν πέλαγος, οὐκ ἔχοντί σοι Κράταιιν ἐπικαλεῖσθαι, εἰ δεύτερον ἐφορμᾷ.

ΘΑΛΑΣΣΕΡΩΣ ΕΥΠΛΟΩι.

ΤΗνάλλως ποιεῖς τὴν πρός με νουθεσίαν ὦ Εὔπλοε. ἐγὼ γὰρ οὐκ ἂν ἀποσαίην τῆς ἀνθρώπου, θεῷ μυσαγωγοῦντι πυρφόρῳ καὶ τοξοφόρῳ πειθόμενος. καὶ ἄλλως ἡμῖν τὸ ἐρᾶν συγγενές. τῆς θαλαττίας θεοῦ τεκούσης τοῦτο τὸ παιδίον. ἡμέτερος οὖν πρὸς μητρὸς ὁ Ἔρως. καὶ ὑπὸ τούτου βληθεὶς τὴν καρδίαν, ἔχω πρὸς θαλάττῃ τὴν κόρην Πανόπῃ νομίζων ἢ Γαλατείᾳ ταῖς καλλιτευούσαις τῶν Νηρηίδων συνοικεῖν.

faciat nudatum opibus, fiatque tibi psaltriæ diversorium Calydonius sinus aut Tyrrhenum mare, cum non poteris Cratæin invocare, si iterum irruat.

THALASSEROS EVPLOO. XIX.

FRustra instituis ad me admonitionem Euploë. Ego enim non facile deseram fœminam illam, quippe qui deo auctori ignifero atque sagittifero morem geram: & alioquin amare nobis affine est, cùm marina dea pepererit istum Puerum. Noster itaque respectu matris est Cupido: atque ab isto percussus cor, teneo ad mare puellam, putoque cum Panope aut Galatea formosissimis Nereidum consuetudinem mihi esse.

ΘΕΡΜΟΛΕΠΤΡΟΣ Ω'ΚΙΜΩΝΙ.

Σχέτλια πεπόνθαμεν. τοῖς γὰρ ἄλλοις οὖθαρ, καὶ μῆτραι καὶ ἧπαρ δρόσῳ προσεοικὸς διὰ τὴν ἐκ τῆς ποιότητος λεπτότητα παρέκειτο. ἡμῖν δὲ ἔτνος ἦν τὸ βρῶμα. καὶ οἱ μὲν Χαλυβώνιον ἔπινον· ἐκτροπίαν δὲ ἡμεῖς καὶ ὀξύνην. ἀλλ' ὦ μοιραῖοι θεοὶ καὶ μοιραγέται δαίμονες. δείητε παρατροπὴν τῆς ἀδίκου ταύτης τύχης· καὶ μὴ τοὺς μὲν διηνεκεῖ φυλάττετε εὐτυχίᾳ· τοὺς δὲ τῷ λιμῷ συνοικίζετε. ἡ γὰρ φορὰ τῆς εἱμαρμένης τὰ τοιαῦτα κατηνάγκασεν. ἄδικα πάσχομεν πρὸς αὐτῆς οἱ λεπτῇ καὶ ςενῇ κεχρημένοι τύχῃ.

THERMOLEPYRVS OCIMONI. XX.

INdigna paſſi ſumus! Nam aliis ſumen & vulvæ, & hepar rori ſimile propter pinguedinis tenuitatem, appoſita erant; nobis autem puls erat cibus. atque vinum alii Chalybonium bibebant, nos vappam & acetum. Sed o fatorum & Parcarum arbitri dii atque dæmones! detis depulſionem iniquæ hujus ſortis. neque alios quidem in perpetua ſervetis felicitate, alios autem fami detis contubernales. nam curſus fati talium neceſſitatem affert. Injuria fit ab eo nobis, qui tenui anguſtaque utimur fortuna.

ΚΩΝΩΠΟΣΦΡΑΝΤΗΣ ΙΣΧΟΛΙΜΩΙ.

Ἀνεμιαίους ἐλπίδας ἔσχον ἐπὶ τῷ μειρακίῳ Πολυκρίτῳ. ὤμην γὰρ αὐτὸν, εἰ τεθναίη αὐτῷ ὁ πατὴρ, χύσιν ἐργάσασθαι τῆς οὐσίας πολλὴν, καὶ ἀδηφαγοῦντα καὶ καθηδυπαθοῦντα μετά τε ἡμῶν μετά τε τῶν ἑταιρῶν ὅσαι κατὰ τὴν ὥραν πρωτεύουσιν, ἐξαντλοῦντα ἢ τὸ πᾶν ἢ τὸ πολὺ τῆς οὐσίας. ὁ δὲ ἐπειδὴ κρίνων αὐτῷ ὁ γεννήσας ἐγένετο, σιτεῖται μὲν ὀψὲ τῆς ἡμέρας ἅπαξ, καὶ τοῦτο τῆς ὥρας ἡλίου λοιπὸν ἀμφὶ δύσιν ἔχοντος. σιτεῖται δὲ οὐδὲν τῶν πολυτελῶν, ἀλλ' ἄρτον τὸν ἐξ ἀγορᾶς καὶ ὄψον ἔιποτε εὐημερίας ἡμέραν ἐπιτελείη ὄρυπετεῖς ἢ Φαυλίας. διαμαρτὼν οὖν τῆς θαυμασῆς ταύτης ἐλπίδος οὐκ οἶδ' ὅ, τι καὶ δράσαιμι. εἰ γὰρ ὁ τρέφων δεῖται τοῦ θρέψον-

CONOPOSPHRANTES ISCHOLIMO. XXI.

IRritam ſpem habui de adoleſcente Polycrito. Arbitrabar enim eum, ſi morereturipſi pater, profuſionem facturum divitiarum multam, lurcando & libidinando abſumentem, nobiſcum & cum ſcortis quotquot formæ elegantia præſtant exhaurientem aut omnes opes aut magnam partem. At ille poſtquam meliuſcule ei habet parens, cibum capit ſero, in die ſemel, idque eo tempore cum jam ſol verſus occaſum vergit. Comedit autem nihil opiparum, ſed panem de foro, & opſonium, ſi quando hilarem diem agat, drupas aut phaulias olivas. Fruſtratus igitur hac egregia ſpe, incertus ſum quid faciam; ſi enim qui alit opus habet alturo; quid fiet illi qui ali debet? cum

τος· τί ἂν ἔιη ὁ τρέφεσθαι ὀφείλων ; λιμώττοντι δὲ συνεῖναι διπλοῦν τὸ βάρος. Ἔρρωσο.

ΕΥΤΒΟΤΛΟΣ ΓΕΜΕΛΛΩι.

ΠΑρέκειτο μὲν ἡμῖν ὁ Γέλωνος τοῦ Σικελιώτου πλακοῦς ἐπώνυμος, ἐγὼ δὲ καὶ τῇ θέᾳ μόνον πρὸς τὰς καταπόσεις ἐυτρεπιζόμενος ἡυφραινόμην. μέλλησις δὲ ἦν πολλὴ περισεφόντων τραγημάτων τὰ πέμματα. ἦν δὲ ὁ καρπὸς τῆς πισάκης καὶ βάλανοι φοινίκων καὶ κάρυα τῶν ἐλύτρων ἐξῃρημένα. ἐγὼ δὲ πρὸς ταῦτα ἕκαστα ἐχθρὰ βλέπων ἀνέμενον ἐπαφήσειν ἐμαυτὸν ἐγχανὼν τῷ πλακοῦντι. οἱ δὲ καὶ τὸ ἐντραγεῖν ἐπιμήκιστον ἐξέτειναν· καὶ κύλικος συνεχὲς περισοβουμένης διατριβὰς καὶ μελλησμοὺς ἐνεποίουν. τέλος ὥσπερ ἐκ

esuriente vero manere esurientem duplex onus. Vale.

EVBVLVS GEMELLO. XXII.

APposita erat nobis Geloni Siculo placenta cognominis. Ego vero etiam adspectu duntaxat me ad deglutiendum præparans delectabar. Sed cunctatio erat multa, circum coronantibus bellariis cupedias. erant autem illa, fructus pistaceæ, & glandes palmarum, & nuces putaminibus exemptæ. At ego hæc singula inimicis oculis adspiciens, expectabam ut meipsum immitterem inhians placentæ. illi autem & bellariorum esum in longissimum extenderunt: & calice continenter circumacto moram ac cunctationem interponebant. Tandem quasi de composito meam cupiditatem

συνθήματος τὴν ἐμὴν ἀναρτῶντες ἐπιθυμίαν, ὁ μέν τις κάρφος λαβὼν ἐξεκάθαιρε τὰ ἐνιζάνοντα τῶν βρωμάτων τοῖς ὀδοῦσιν ἰνάδη· ὁ δὲ ὑπτιάσας ἑαυτὸν οἷος ἦν ὕπνῳ κατέχεσθαι μᾶλλον ἢ τῆς τραπέζης φροντίζειν. εἶτα ἄλλος ἄλλῳ διελέγετο καὶ πάντα μᾶλλον ἐπράττετο, ἢ ὁ ἡδὺς ἐκεῖνος καὶ πολυήτος ἡμῖν πλακοῦς εἰς ἀπόλαυσιν ἤρχετο. τέλος οἷα εἰκὸς οἱ θεοὶ κατοικτείραντες τὸ κατάξηρον τῆς ἐμῆς ἐπιθυμίας, μόλις ποτὲ ἱμείροντά με τοῦ πλακοῦντος ἀπογεύσασθαι παρεσκεύασαν. ταῦτά σοι γράφω οὐ τοσοῦτον ἐπὶ τοῖς ἡδέσιν ἡσθεὶς, ὅσον ἐπὶ τῇ παρολκῇ τῆς βραδυτῆτος ἐκτακείς.

ſuſpenderent, alius ſtipula ſumpta expurgabat ſi quid inſideret ex cibo dentibus fibroſum: alius reſupinans ſeipſum paratior erat ut ſomno caperetur, quam ut menſæ curam haberet: deinde alius cum alio fabulabatur, & quidvis potius agebatur, quam ut ſuavis illa & cupita nobis placenta in fruitionem veniret. Poſtremo ut veriſimile eſt dii miſerantes ariditatem meæ cupiditatis, vix tandem effecerunt ut ego cupidus placentam deguſtarem. Hæc tibi ſcribo non tam ſuavitate delectatus, quam longa cunctatione confectus.

ΠΛΑΤΤΎΛΑΙΜΟΣ ΈΡΕΒΙΝΘΟΛΕΌΝΤΙ.

Ὀυπώποτε ἐγὼ κατὰ τὴν Ἀττικὴν ὑπέμεινα τοιοῦτον χειμῶνα. οὐ γὰρ μόνον ἐκ παραλλήλων φυσῶντες μᾶλλον δὲ φύρδην φερόμενοι κατεκτύπουν ἡμῶν οἱ ἄνεμοι, ἀλλ' ἤδη καὶ χιὼν πυκνὴ καὶ ἐπάλληλος φερομένη, πρῶτον μὲν τοῦδαφος ἐκάλυπτεν· ἔπειτα οὐκ ἐπιπολῆς, ἀλλ' εἰς ὕψος ἦρετο νιφάδος χῦμα πάμπολυ, ὡς ἀγαπητὸν εἶναι τὸ θυρίον ἀνοίξαντα τῆς οἰκίας τὸν σεσωπὸν ἰδεῖν. ἐμοὶ δὲ οὔτε ξύλον οὔτε ἄσβολος παρῆν. πῶς γὰρ ἦ πόθεν; ὁ κρυμὸς δὲ εἰσεδύετο μέχρι μυελῶν αὐτῶν καὶ ὀστέων. ἐβουλευσάμην οὖν Ὀδύσσειον βούλευμα δραμεῖν εἰς τοὺς θόλους ἢ τὰς καμίνους τῶν βαλανείων. ἀλλ' οὐδὲ ἐκεῖσε συνεχώρουν οἱ τῶν ὁμοτέχνων περὶ ταῦτα κυλινδού-

PLATYLÆMVS EREBINTHOLEONTI. XXIII.

NUnquam ego in Attica ſuſtinui talem hyemem. Non enim ſolum alternatim ſpirantes vel potius confuſe ruentes nos tundebant venti; ſed jam & nix denſa & crebra cadens, primo humum tegebat: deinde non in ſuperficie, ſed in altum tollebatur nivium defluentium ingens moles, ut vix poſſes oſtium aperiens domus, angiportum videre. Mihi vero neque lignum neque fuligo ſuppetebat: quomodo enim aut unde? frigus autem penetrabat usque ad ipſas medullas & oſſa. Cepi igitur conſilium Ulyſſeum, ut currerem in tholos & caminos balnearum. ſed nec illuc ire concedebant artis conſortes qui circa ea verſabantur; eadem enim

μευσι· καὶ γὰρ ἀυτοὺς ἡ παραπλησία θεὸς ἠνόχλει πενία. ὡς οὖν ἠσθόμην οὐκ εἶναί μοι εἰς ταῦτα εἰσιτητὸν, δραμὼν ἐπὶ τὸ Θρασύλλου βαλανεῖον ἰδιωτικῆς οἰκίας, εὗρον τοῦτο κενόν. καὶ καταβαλὼν ὀβολοὺς δύο καὶ τὸν βαλανέα τούτοις ἵλεων καταςήσας, ἐθερόμην ἄχρις οὗ τὸν νιφετὸν μὲν πηγυλὶς διεδέξατο, καὶ ὑπὸ τοῦ κρύους τοῦ μεταξὺ διεροῦ παγέντος πρὸς ἀλλήλους ἐδέδεντο οἱ λίθοι. μετὰ δὲ τὸ ἀποβράσαι τὸ δριμύ, προτηνὴς ὁ ἥλιος ἐλευθέραν μοι τὴν πρόσοδον καὶ περιπάτους ἀνειμένως ἀπέφηνεν.

Α'ΜΝΙ'ΩΝ ΦΙΛΟΜΟ'ΣΧΩι.

Ἄπεπειρεν ἡμῶν ἡ χάλαζα βαρέως ἐμπεσοῦσα τὰ λήϊα. καὶ λιμοῦ φάρμακον οὐδέν. ὠνεῖσθαι ἡμῖν ἐπακτοὺς πυροὺς οὐχ οἷόν τε διὰ σπά-

dea ipsis molesta erat, Paupertas. Cum igitur sentirem non esse mihi ad hæc aditum, propere me contuli ad Thrasylli balneum privatæ domus, & illud vacuum inveni; atque depositis duobus obolis, cum balneatorem iis mihi propitium reddidissem, calefaciebam me, donec nivem exciperet glacies, & lapides invicem compingerentur, congelato quod interjacebat humido. Postquam vero deferbuisset acerbitas, sol clementior liberum mihi exitum, & deambulationes permissas esse fecit.

AMNION PHILOMOSCHO. XXIV.

VAstavit nostras fruges grando gravi impetu, & famis nullum est remedium. Advectitium triticum nobis emendi non est facultas, de-

νιν κερμάτων. ἔστι δέ σοι ὡς ἀκούω τῆς πέρυσι ἐυετηρίας λείψανα. δάνεισον οὖν μοι μεδίμνους εἴκοσι ὡς ἂν ἔχοιμι σώζεσθαι αὐτὸς καὶ ἡ γυνὴ καὶ τὰ παιδία. καρπῶν δὲ ἐυφορίας γενομένης, ἐκτίσομεν αὐτὸ τὸ μέτρον, καὶ λώϊον ἐάν τις εὐθηνία γένηται. μὴ δὲ περιίδῃς ἀγαθοὺς γείτονας εἰς ϛενὸν τοῦ καιροῦ φθειρομένους.

ΕΥΣΤΟΛΟΣ ΕΛΑΤΙΩΝΙ.

Ὅτδέν με τῆς γῆς ἀμειβομένης τῶν πόνων ἄξιον, ἔγνων ἐμαυτὸν ἐπιδοῦναι θαλάττῃ καὶ κύμασι. ζῆν μὲν γὰρ καὶ τεθνάναι μεμοίραται ἡμῖν. καὶ οὐκ ἔστι τὸ χρέος φυγεῖν κἂν ἐν οἰκίσκῳ τις καθείρξας αὐτὸν τηρῇ. ἐνεργὸς γὰρ ἡ ἡμέρα ἐκείνη καὶ τὸ πεπρωμένον ἄφυκτον. ὥϛε τὸ ζῆν

ficiente pecunia. Sunt autem tibi, ut audio, de copia annonæ, quæ fuit superiore anno, reliquiæ. Quare mutuos da mihi viginti modios, ut salvus esse possim cum conjuge ac liberis. Quod si fertilis extiterit *iterum* frugum proventus, solvemus eâdem mensurâ: etiam meliore, si quæ fuerit ubertas. Ne vero committas ut incuriâ tuâ boni vicini in angustias coacti pereant.

EVSTOLVS ELATIONI. XXV.

Cùm terra nihil dnigum laboribus rependat, decrevi me ipsum dedere mari ac fluctibus. Etenim vita simul & mors fato nobis constitutæ sunt. Neque datur effugere debitum fatale, etiam si in domuncula quis seipsum inclusum contineat. Dies enim illa non cessat: &

οὐκ

οὐχ ὑπὸ τούτων ταλαντεύεται· ἀλλ' ὑπὸ τῇ τύχῃ βραβεύεται. ἤδη γὰρ τινὲς μὲν ἐπὶ γῆς ὠκύμοροι· ἐπὶ θαλάττης δὲ μακρόβιοι κατεβίωσαν. ὥστε εἰδὼς ταῦθ' οὕτως ἔχειν, ἐπὶ ναυτιλίαν βαδιοῦμαι καὶ ἀνέμοις ὁμιλήσω καὶ κύμασι. κρεῖττον γὰρ ἐπανήκειν ἐκ Βοσπόρου καὶ Προποντίδος νεόπλουτον, ἢ καθήμενον ἐπὶ ταῖς τῆς Ἀττικῆς ἐσχατικαῖς λιμῶδες καὶ ἀυχμηρὸν ἐρυγγάνειν.

ΑΓΕΛΑΡΧΙΔΗΣ ΠΥΘΟΛΑΩι.

ΜΕγα ὦ φίλε κακὸν οἱ κατὰ τὴν πόλιν τοκογλύφοι. ἐγὼ γὰρ οὐκ οἶδα τί παθὼν; δέον παρὰ σὲ ἢ παρά τινα ἄλλον τῶν κατ' ἀγρὸν

fatum eſt inevitabile. Itaque non ab his pendet diſcrimen vitæ, ſed fortunæ arbitrio ſubjacet. Quin etiam contigit ut aliqui in terra cito morerentur, aliqui in mari longam viverent vitam. Quare cum ſciam hæc ita ſe habere, ad navigationem me conferam, & inter ventos fluctusque verſabor. Melius enim eſt redire è Boſporo & Propontide novis divitiis auctum, quam ſedentem in Atticæ agris, famelicum quid & ſiccum ructare.

AGELARCHIDES PYTHOLAO. XXVI.

MAgnum, o amice, malum ſunt iſti in urbe fœneratores. Ego enim, neſcio quo fato meo, cùm debuiſſem ad te, aut ad alium aliquem rure noſtro vicinum adire, in pecuniarum indigentia conſtitutus, quòd vellem in Co-

γειτόνων ἐλθεῖν, ἐπεὶ κατέσχην ἐν χρείᾳ χρημάτων βουλόμενος ἐπὶ Κολωνῷ πρίασθαι χωρίον ἐξηγήσαντός μέ τινος τῶν ἀσικῶν ἐπὶ τὰς Μαρτίου θύρας ἀφικόμην. εἶτα καταλαμβάνω πρεσβύτην ὀφθῆναι ῥικνὸν συνεσπακότα τὰς ὀφρῦς χάρτην δί ἀρχαῖά τινα, σαπρὸν δὲ τῷ χρόνῳ ὑπὸ κόρεων καὶ σητῶν ἡμίβρωτον διὰ χειρὸς ἔχοντα. εὐθὺς μὲν οὖν μόλις με προσεῖπε, ζημίαν ἡγούμενος τὴν προσηγορίαν. εἶτα τοῦ προξένου φήσαντος ὡς δεοίμην χρημάτων· πόσων ἤρετο ταλάντων; ἐμοῦ δὲ θαυμάσαντος τὴν ὑπερβολήν, διέπτυεν εὐθέως. καὶ δῆλος ἦν δυσχεραίνων. ὅμως ἐδίδου καὶ ἀπῄτει γραμματεῖον. καὶ ἐπὶ τῷ ἀρχαίῳ τόκον βαρὺν καὶ τὴν οὐσίαν ὑποθέσει μηνὸς εἰσέτι μοι. μέγα τὶ κακὸν εἰσὶν οἱ περὶ τὰς ψήφους καὶ τῶν δακτύλων τὰς κάμψεις

lono emere prædium; deducente me quodam urbico, ad Martii fores deveni. Post ibi deprehendo senem adspectu strigosum, contractis superciliis, chartam, propter sortes quasdam usurarum *de quibus solicitus erat*, eam vero mucidam vetustate temporis, a cimicibus & tineis semesam, in manu tenentem. Statim igitur vix me alloquebatur, jacturam existimans si me appellasset. Deinde cùm proxeneta dixisset me opus habere pecunia; quot talentis? interrogabat. Cum autem ego obstupescerem ad hanc exuperantiam, despuebat statim, ostendebatque se offendi. Tamen dabat, & petebat literas obligatorias: & præter summam, usuram gravem: & facultates meas, præstituto uno mense. Adhuc meo judicio magnum quoddam malum sunt, qui circa calculos & digitorum flexiones versantur. Ne mihi contingat o præsi-

εἰλινδούμενει. μή μοι γένοιτο ἀγροίκων ἔφορoι δαίμονες, μὴ λύκον ἔτι μὴ δᾶνειστὴν ἰδεῖν.

Α'ΝΙ'ΚΗΤΟΣ ΦΟΙΒΙΑΝΗ῀ι.

ΦΕύγεις με ὦ Φοιβιανὴ Φεύγεις. καὶ ταῦτα ἀρτίως ὅλον τὸν ἀγρὸν ἀπενεγκαμένη. τί γὰρ οὐ τῶν ἐμῶν λαβοῦσα ἔχεις ; οὐ σῦκα οὐ τυρὸν ἐκ ταλάρων, οὐκ ἀλεκτορίδων ζεῦγος, οὐ τὰ λοιπὰ τρυφήματα πάντα ἔσι σοι ἐξ ἐμοῦ ; οὕτως ὅλον με αὐτὴ κατὰ τὴν παροιμίαν ἀνατρέψασα δουλεύειν ἀπηνάγκασας. σὺ δὲ οὐδεμίαν ἄραν ἔχεις ἐμοῦ διακαῶς Φλεγομένου, ἀλλὰ χαῖρε καὶ ἄπιθι. ἐγὼ δὲ ὁίσω βαρέως μὲν, ὅισω δὲ ὅμως τὴν ἀτιμίαν.

des agreſtium dæmones, nec lupum ampliusnec fœneratorem videre.

ANICETVS PHOEBIANÆ. XXVII.

FUgis me o Phœbiana fugis, idque cùm modo totum agrum abſtuleris. Quid enim ex meis bonis non accepiſti & habes? Nonne ſicus, nonne caſeus ex calathis, nonne unum par gallinarum, nonne reliquæ deliciæ omnes tibi à me ſunt? Adeo me totum tu ſecundum proverbium ſubvertiſti & ſervire coëgiſti. Tu vero nullam mei curam habes ardenter amantis. Sed vale & abi. Ego vero feram quamvis ægre, feram tamen ignominiam.

ΦΟΙΒΙΑΝΗ᾽ Α᾽ΝΙΚΗ᾽ΤΩι.

Ὡ Δίνυσά με ἀρτίως ἥκειν ὡς ἑαυτὴν ἡ τοῦ γείτονος μετέπεμψε γυνή. καὶ δῆτα ἥκειν ἀραμένη τὰ πρὸς τὴν τέχνην. σὺ δὲ ἐξαπινάιως ἀναξὰς ἐπειρῶ τὴν δέρην ἀνακλάσας κῦσαι. οὐ παύσῃ τρίκουρον καὶ τάλαντον γερόντιον πειρῶν τὰς ἀφ᾽ ἡλικίας ἀνθούσας ἡμᾶς ὥσις ἄρτι νεάζειν ἀρχόμενος; οὐχὶ τῶν κατ᾽ ἀγρὸν πόνων ἀφεῖσαι ἀεργὸς τῶν ἀϊδίων πορισάμενος. οὐχὶ τοὐπτανείου καὶ τῆς ἐσχάρας ὡς ἀδύνατος ὢν ἐξέωσαι; πῶς οὖν τακερὸν βλέπεις βλέμμα καὶ ἀναπνέεις. πέπαυσο Κέκροψ ἄθλιε, καὶ τρέπου κατὰ σεαυτὸν ὦ πρέσβυ.

PHOEBIANA ANICETO. XXVIII.

PArturiens modo uxor vicini me ut ad ſe venirem accerſi juſſit: atque jam ibam aſſumptis quæ ad artem eam requiruntur. Tu vero confeſtim exſurgens conabare cervicem meam ad te reflectens oſculari. Non deſines frugiperda & miſerrime ſenex tentare nos puellas ætate florentes, quaſi aliquis modo juveneſcere incipiens? Nonne ab ruſticis in agro laboribus abdicatus es immunis, parto tibi jam Acheruntico viatico? Nonne ex culina & a foco tanquam effœtus es expulſus? Cur igitur molliter intueris, & ſuſpiras? Deſine miſer Cecrops, & ad te ipſum te converte ſenex.

ΓΛΥΚΕΡΑ ΒΑΚΧΙΔΙ.

Ὁ Μένανδρος ἡμῶν ἐπὶ τὴν τῶν Ἰσθμίων θέαν εἰς τὴν Κόρινθον ἐλθεῖν βεβούληται. ἐμοὶ μὲν οὐ κατὰ νοῦν. οἶδας γὰρ οἷόν ἐστιν ἐραστοῦ τοιούτου καὶ βραχὺν ὑστερῆσαι χρόνον. ἀποτρέπειν δὲ οὐκ ἐνῆν μὴ πολλάκις ἀποδημεῖν εἰωθότα. οὐδ' ὅπως αὐτὸν παρεγγυήσω, μέλλοντα ἐπιδημήσειν ἔχω. οὐδ' ὅπως μὴ βουλόμενον αὐτὸν σπουδασθῆναι ἀπὸ σοῦ κἀμοί τινα φέρει φιλοτιμίαν, τοῦτο λογίζομαι. οἶδα γὰρ τὴν οὖσαν ἡμῖν ἑταιρίαν πρὸς ἀλλήλας. δέδοικα δὲ ὦ φιλτάτη οὐ σὲ τοσοῦτον, χρηστοτέρᾳ γὰρ ἤθει κέχρησαι τοῦ βίου, ὅσον αὐτὸν ἐκεῖνον. ἐρωτικὸς γάρ ἐστι δαιμονίως καὶ Βακχίδος οὐδ' ἂν τῶν σκυθρωποτάτων τις ἀπόσχοιτο. τὸ μὲν γὰρ δοκεῖν αὐτὸν οὐκ ἔλαττον τοῦ σοὶ ἐντυχεῖν ἢ

GLYCERA BACCHIDI. XXIX.

MEnander nobis ad ſpectandos ludos Iſthmios Corinthum proficiſci voluit; non id quidem ex mea ſententia. Scis enim quanta res ſit amatore ejusmodi pauxillum etiam temporis carere. Avertere autem non licebat rarius peregre abire ſolitum. Neque quomodo eum tibi commendem & committam cùm ibi verſabitur, habeo: neque quomodo id non faciam; præſertim cum abs te amari cupiat. & mihi quandam afferre æmulationem iſtud puto. Novi enim amicitiam quæ inter nos eſt. Timeo autem, mea dilectiſſima, non tam te, (probioribus enim moribus quam pro iſto vitæ genere uteris) quam illum ipſum. Amatorius enim eſt mirum in modum: & a Bacchide ne ſeveriſſimus quidem facile abſtineat. Nam videri eum non mi-

τῶν Ἰσθμίων ἕνεκεν τὴν ἀποδημίαν πεποιῆσθαι, οὐ πάνυ πείθομαι. ἴσως αἰτιάσῃ με τῆς ὑποψίας. συγγίνωσκε δὲ ταῖς ἑταιρικαῖς ὦ φιλτάτη ζηλοτυπίαις. ἐγὼ δ' οὐ παρὰ μικρὸν ἡγοῦμαι Μενάνδρου διαμαρτεῖν ἐραστοῦ. ἄλλως τε κἂν μοι κνισμός τις πρὸς αὐτὸν ἢ διαφορὰ γένηται, δεήσει με ἐπὶ τῆς σκηνῆς ὑπὸ Χρέμητός τινος ἢ Διφίλου πικρῶς λοιδορεῖσθαι. ἐὰν δὲ ἐπανέλθῃ μοι οἷος ᾤχετο, πολλὴν ἔισομάι σοι χάριν. Ἔῤῥωσο.

ΒΑΚΧΙ᾽Σ Υ᾽ΠΕΡ᾽ΙΔΗι.

ΠΑ῀σάι σοι ἴσμεν αἱ ἑταῖραι χάριν. καὶ ἑκάστη γε ἡμῶν οὐχ ἧττον ἢ Φρύνη. ὁ μὲν γὰρ ἀγὼν μόνος Φρύνης, ὃν ὁ παμπόνηρος Εὐθίας ἐπανείλετο· ὁ δὲ κίνδυνος ἁπασῶν. εἰ γὰρ αἰτοῦσαι παρὰ

nus ut te conveniret, quam Isthmiorum causa profectionem hanc suscepisse omnino credo. Fortasse me suspicionis argues. Verum ignosce, charissima, amatoriis zelotypiis. Ego vero non parvam rem puto Menandro excidere amatore. Et alioqui si mihi offensio aliqua cum eo aut simultas oriatur, oportebit in Scena ab aliquo Chremete aut Diphilo me acerbis conviciis proscindi. Quod si talis redierit qualis abiit, magnam tibi gratiam habebo.

BACCHIS HYPERIDI. XXX.

OMnes nos meretrices agimus tibi gratias: & quidem unaquæque nostrûm non minus quam Phryne. Equidem accusatio solummodo ad Phrynen spectabat, quam pessimus omnium Euthias susceperat: periculum vero ad nos

τῶν ἐρωτῶν ἀργύριον οὐ τυγχάνομεν, ἢ τοῖς διδοῦσιν ἐντυγχάνουσαι ἀσεβείας κριθησόμεθα, πεπαῦσθαι κρεῖττον ἡμῖν τοῦ βίου, καὶ μηκέτι ἔχειν πράγματα μή τε τοῖς ὁμιλοῦσι παρέχειν. νῦν δ' οὐκ ἔτι τὸ ἑταιρεῖν αἰτιασόμεθα ὅτι πονηρὸς Εὐθίας ἐρασὴς ἐυρέθη· ἀλλ' ὅτι ἐπιεικὴς Ὑπερίδης, ζηλώσομεν. πολλὰ τοίνυν ἀγαθὰ γένοιτό σοι τῆς Φιλανθρωπίας. καὶ γὰρ ἑταίραν χρηστὴν σεαυτῷ περιεσώσω. καὶ ἡμᾶς ἀμειψομένας σε αὖτ' ἐκείνης παρεσκεύασας. εἰ δὲ δὴ καὶ τὸν λόγον γράψαις τὸν ὑπὲρ τῆς Φρύνης, τότε ἂν ὡς ἀληθῶς χρυσοῦν αἱ ἑταῖραι σε ἡσαιμεν ὅπη ποτὲ βούλει τῆς Ἑλλάδος.

omnes. Si enim petentes ab amatoribus pecuniam, non impetramus, aut copiam noſtri facientes dantibus, impietatis reæ agemur; deſiſtere ſatius eſt a quæſtu: & non amplius negotium habere, neque his qui nobiſcum conſuetudinem habent exhibere. At nunc non amplius quæſtum meretricium incuſabimus, quod Euthias improbus amator inventus eſt; ſed quoniam Hyperides æquus & juſtus; eo magis probabimus & ſectabimur. Multa itaque tibi eveniant bona propter iſtam humanitatem. Nam & amicam bonam tibi ipſi incolumen ſervaſti: & nos promptas ac paratas effeciſti ad compenſandum. Quod ſi etiam orationem quam pro Phryne habuiſti ſcripto conſignares, tunc tibi revera nos meretrices auream ſtatuam erigeremus, ubicumque volueris in Græcia.

ΒΑΚΧΙΣ ΦΡΥΝΗι.

Ὅτ τοσοῦτόν σοι τοῦ κινδύνου συνηχθέσθην Φιλτάτη· ὅσον ὅτι πονηροῦ μὲν ἀπηλλάγης ἐραστοῦ, χρηστὸν δὲ εὗρες Ὑπερίδην, συνήσθην. τὴν γὰρ δίκην σοι καὶ πρὸς τὴν εὐτυχίαν γεγονέναι νομίζω. διαβόητον γάρ σε οὐκ ἐν ταῖς Ἀθήναις μόνον, ἀλλὰ καὶ ἐν τῇ Ἑλλάδι ἁπάσῃ ὁ ἀγὼν ἐκεῖνος πεποίηκεν. Εὐθίας μὲν γὰρ ἱκανὴν τιμωρίαν δώσει τῆς σῆς ὁμιλίας στερούμενος. ὑπὸ γὰρ ὀργῆς μοι δοκεῖ κινηθεὶς διὰ τὴν ἔμφυτον ἀμαθίαν ὑπεράραι τὸ μέτρον τῆς ἐρωτικῆς ζηλοτυπίας. καὶ νῦν ἐκεῖνον ἐρῶντα μᾶλλον εὖ ἴσθι ἢ Ὑπερίδην. ὁ μὲν γὰρ διὰ τὴν τῆς συνηγορίας χάριν δῆλός ἐστι σπουδάζεσθαι βουλόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν· ὁ δὲ τῷ ἀποστεύγματι τῆς δίκης παρώξυνται. προσδέχου δὴ

BACCHIS PHRYNÆ. XXXI.

NOn tantopere propter illud periculum vicem tuam dolui, chariſſima! quantopere, quod a malo amatore liberata es, & Hyperidem bonum inveniſti, ſum lætata. Nam quòd judicium illud contigit, id ad felicitatem tuam facere arbitror. Celebrem enim te non Athenis ſolum, verum etiam in tota Græcia certamen illud fecit. Equidem Euthias ſatis pœnarum dabit dum tua conſuetudine privatur. Nam is mihi videtur ira commotus, propter inſitam ſtoliditatem exceſſiſſe modum amatoriæ zelotypiæ. Et nunc illum majore amore flagrare quam Hyperidem omnino perſuaſum habeto. Iſte enim propter beneficium quod patrocinio ſuo in te contulit, videtur velle impenſius coli, & inſtar deliciarum ſe gerere.

πάλιν δὲ ἀυτοῦ δεήσεις καὶ λιτανίας καὶ πολὺ χρυσίον. μὴ δὴ καταδιαιτήσῃς ἡμῶν ὦ Φιλτάτη τῶν ἑταιρῶν. μὴ δὲ Υ̓περίδην κακῶς δόξαι βεβουλεῦσθαι ποιήσῃς, τὰς Ἐυθίου ἱκεσίας προσιεμένη. μὴ δὲ τοῖς λέγουσί σοι ὅτι εἰ μὴ τὸν χιτωνίσκον περιῤῥηξαμένη τὰ μαστάρια τοῖς δικασταῖς ἀπέδειξας, οὐδὲν ῥήτωρ ὠφέλει, πείθου. καὶ γὰρ ἀυτὸ τοῦτο ἵνα ἐν καιρῷ γένηταί σοι ἡ ἐκείνου παρέσχε συνηγορία.

ΒΑΚΧ̓ΙΣ ΜΥΡ̓Ρ̓ἸΝΗ.

ΜΗδὲ κρέιττονος ἔιη σοι τυχεῖν ἐραστοῦ, δέσποινα Ἀφροδίτη, ἀλλ' Ἐυθίας σοι ὃν νῦν περιέπεις συγκαταβιώη. τάλαινα γυνὴ τῆς ἀνοίας. ἥτις τῷ τοιούτῳ κάλλει πεπίστευκας. Φρύνην γὰρ

ille autem malo accuſationis ſucceſſu irritatus eſt. Expecta igitur ab eo rurſus preces & ſupplicationes, & magnam vim auri. Ne verò prævariceris noſtræ meretricum cauſæ, mea dilectiſſima: neque locum dando Euthiæ precibus, committes, ut Hyperides male in rem conſuluiſſe videatur. Neque illis qui tibi dicunt, niſi tunicam tu dilaceraſſes & mammillas judicibus oſtendiſſes, nihil oratorem profuturumfuiſſe, credito. Etenim hoc ipſum ut opportune abs te fieret, ejus defenſione ac patrocinio factum eſt.

BACCHIS MYRRHINÆ. XXXII.

NE melior quidem amator tibi contingat. Proh Domina Venus! Sed Euthias quem nunc foves tecum exigat ætatem. Infelix amentiâ mulier! quæ in tali forma fiduciam habes. Ni-

σέρξει δηλονότι, Μυρρίνην ὑπεριδών. ἀλλ' ἔοικας κνίσαι τὸν Ὑπερίδην βεβουλῆσθαι ὡς ἔλαττόν σοι νῦν προσέχοντα. κἀκεῖνος ἑτάιραν ἔχει ἀξίαν ἑαυτοῦ, καὶ σὺ ἐρασήν σοι πρέποντα. αἴτησόν τι παρ' αὐτοῦ, καὶ ὄψει σεαυτὴν ἢ τὰ νεώρια ἐμπεπρηκῦιαν ἢ τοὺς νόμους καταλύσυσαν. ἴσθι γοῦν ὅτι παρὰ πάσαις ἡμῖν ταῖς τὴν Φιλανθρωποτέραν Ἀφροδίτην προτιμώσαις μεμίσησαι.

ΘΑΙΣ ΘΕΤΤΑΛΗ.

Ὅτε ἄν ποτ' ᾠήθην ἐκ τοσαύτης συνηθείας ἔσεσθαί μοι τινὰ πρὸς Εὐξίππην διαφοράν. καὶ τὰ μὲν ἄλλα ἐν οἷς αὐτῇ χρησίμη γέγονα ὑπὸ τὸν ἀπὸ τῆς Σάμου κατάπλουν, οὐκ ὀνειδίζω. ἀλλὰ Παμφίλου, γινώσκεις τοῦτο καὶ σὺ, ὅσον

mirum Phrynen amabit, neglectâ Myrrhinâ. Sed videris Hyperidem pungere voluisse, quod minus tui nunc rationem habeat. Et ille amicam habet se dignam, & tu amatorem tibi convenientem. Pete aliquid ab eo, & videbis te aut navalia incendisse, aut leges violare. Scito igitur te omnibus nobis quæ humaniorem Venerem pluris facimus, odio esse.

THAIS THESSALÆ. XXXIII.

HAud unquam putassem fore ut post tantam familiaritatem nasceretur mihi aliquod cum Euxippa dissidium. Ac cætera quidem in quibus ei utilis fui sub ejus adventum cùm e Samo adnavigasset, non exprobro. Sed cùm Pamphilus pecuniam mihi daret, scis id tu quoque quàm multam; quòd is cum hac aliquando rem

ἡμῖν διδόντος ἀργύριον, ὅτι ταύτῃ ποτὲ ἐντυγχάνειν ἐδόκει, τὸ μειράκιον οὐ προσήμην. ἀλλὰ καλῶς ἡμᾶς ἀντὶ τούτων ἠμείψατο, τῇ κάκιστα ἀπολουμένῃ Μεγάρᾳ χαρίζεσθαι θέλουσα. πρὸς ἐκείνην δ' ἦν τις παλαιά μοι διὰ Στράτωνα ὑπόνοια. ἀλλὰ ταύτην μὲν οὐδὲν ᾠμην ποιεῖν παράλογον κακῶς λέγουσάν με. ἁλῶσα δ' ἦν· καὶ τὴν παννυχίδα πᾶσαι, ὥσπερ ἦν εἰκός, παρ' ἡμῖν. ἐθαύμαζον δὲ τῆς Εὐξίππης. τὸ μὲν γὰρ πρῶτον κιχλίζουσα μετ' ἐκείνης καὶ μωκωμένη, τὴν δυσμένειαν ἐνεδείκνυτο. εἶτα Φανερῶς ποιήματα ᾖδεν εἰς τὸν οὐκ ἔθ' ἡμῖν προσέχοντα ἐραστήν. καὶ τούτοις μὲν ἧττον ἤλγουν. ἀπανκισχυντήσασα δὲ εἰς τὸ φῦκός με καὶ τὸν παιδέρωτα ἔσκωπτεν. ἐδόκει δέ μοι πάνυ κακῶς πράττειν ὡς μηδὲ κάτοπτρον κεκτῆσθαι. εἰ γὰρ εἶδεν ἑαυτὴν χρῶμα σανδαράχης ἔχουσαν, οὐκ ἂν

habere videretur: adoleſcentem non admittebam. Egregie vero nobis vicem pro his illa rependit, perditiſſimæ illi Megaræ gratificari cupiens. in illam autem habebam veterem quandam propter Stratonem ſuſpicionem. Sed hanc nihil arbitrabar facere præter opinionem ſi mihi malediceret. Haloa vero erant: & ad pervigilium omnes erant, ut par erat, apud nos. Mirabar autem Euxippen. Primùm enim cum illa riſus ineptos & cavillationes inceptans, animum infenſum declarabat. deinde palam carmina canebat, in illum qui nobis non amplius addictus eſſet amatorem. Et ex his quidem minus doloris hauriebam. impudentiæ vero indulgens, in fucum me & pæderotem dicteriis inceſſebat. Viſa autem mihi eſt in re tenui admodum eſſe, ita ut ne ſpeculum quidem poſſideret. Si enim ſciret ſe colorem ſandarachæ

ἡμᾶς εἰς ἀμορφίαν ἐβλασφήμει. ἐμοὶ μὲν οὖν βραχὺ μέλει περὶ τούτων. ἀρέσκειν γὰρ τοῖς ἐρασταῖς οὐχὶ Μεγάρᾳ καὶ Εὐξίππῃ βούλομαι ταῖς πιθήκοις. δεδήλωκα δέ σοι ἵνα μή μ' ἔτι μέμψῃ. ἀμυνοῦμαι γὰρ αὐτὰς οὐκ ἐν σκώμμασιν οὐδ' ἐν βλασφημίαις, ἀλλ' ἐν οἷς μάλιστα ἀνιάσονται. προσκυνῶ δὲ τὴν Νέμεσιν.

ΘΑΪΣ Ε'ΥΘΥΔΗ'ΜΩι.

Ἐξ οὗ Φιλοσοφεῖν ἐπενόησας σεμνός τις ἐγένου καὶ τὰς ὀφρῦς ὑπὲρ τοὺς κροτάφους ἐπῆρας. εἶτα σχῆμα ἔχων καὶ βυβλίδιον μετὰ χεῖρας εἰς τὴν Ἀκαδημίαν σοβεῖς. τὴν δὲ ἡμετέραν οἰκίαν ὡς οὐδὲ ἰδὼν πράτερον παρέρχῃ. ἐμάνης Εὐθύδημε, οὐκ οἶδας οἷός ἐστιν ὁ σοφιστὴς οὗτος ὁ ἐσκυθρωπα-

habere, haud nobis ob deformitatem conviciaretur. Equidem parum hæc curo. placere enim Amatoribus, non Megaræ & Euxippæ, ſimiis illis, volo. Indicavi tibi, ne me adhuc aliquando incuſares. Ulciſcar enim eas non cavillationibus neque conviciis, ſed his rebus quibus maxime mordeantur & doleant. Adoro autem ultionis deam.

THAIS EUTHYDEMO. XXXIV.

EX quo philoſophari in animum induxiſti ſuperbus factus es, & ſupercilia ſupra tempora attollis. Deinde philoſophi habitu præditus, & librum in manibus tenens, inſolenti inceſſu in Academiam te confers. Noſtram vero domum quaſi nec videris antea præteris. Inſanis Euthydeme. neſcis cujusmodi ſit Sophiſta iſte

κὸς καὶ τοὺς θαυμαστοὺς τούτους διεξιὼν πρὸς ὑμᾶς λόγους. ἀλλ' ἐμοὶ μὲν πράγματα, πόσος ἐστὶν οἶει χρόνος, ἐξ οὗ παρέχει βουλόμενος ἐντυχεῖν. προσφθείρεται δὲ Ἑρπυλλίδι τῇ Μεγάρικς ἀβρᾳ. τότε μὲν οὖν αὐτὸν οὐ προσιέμην. σὲ γὰρ περιβάλλουσα κοιμᾶσθαι μᾶλλον ἐβουλόμην, ἢ τὸ παρὰ πάντων σοφιστῶν χρυσίον. ἐπεὶ δέ σε ἀποτρέπειν ἔοικε τῆς μεθ' ἡμῶν συνηθείας, ὑποδέξομαι αὐτόν. καὶ εἰ βούλει τὸν διδάσκαλον τουτονὶ τὸν μισογύναιον ἐπιδέιξω σοι νυκτὸς οὐκ ἀρκούμενον ταῖς συνήθεσιν ἡδοναῖς. λῆρος ταῦτα εἰσὶ καὶ τύφος καὶ ἐργολάβεια μειρακίων ὧ ἀνόητε. οἶει δὲ διαφέρειν ἑταίρας σοφιστὴν; τοσοῦτον ἴσως ὅσον οὐ διὰ τῶν αὐτῶν ἑκάτεροι πείθειν. ἐπεὶ ἔν γε ἀμφοτέροις τέλος πρόσκειται τὸ λαβεῖν. πόσῳ δὲ ἀμείνους ἡμεῖς καὶ εὐσεβέστεραι. οὐ λέγομεν θεοὺς οὐκ εἶναι. ἀλλὰ πι-

fupercilioſus, qui mirificas iſtas diſputationes vobis enarrat. Sed mihi negotium, quamdudum putas eſſe, cum faceſſit, cupiens mei copiam impetrare. Confert autem ſe perditus ad Herpyllidem Megaræ ancillam. Tunc quidem eum non admittebam. etenim in tuo complexu dormire majoris faciebam quam omne Sophiſtarum aurum. Quoniam vero te avertere videtur a noſtra conſuetudine, eum recipiam. Et ſi vis, Magiſtrum huncce mulierum oſorem faxo ut videas non eſſe noctu contentum conſuetis voluptatibus. Hæc nugæ ſunt & faſtus & mercedis ab adoleſcentibus emunctio, o demens. Putasne verò differre a meretrice Sophiſtam? tantillum fortaſſe, quod non per eadem perſuadere conantur. nam unus utique ambobus finis propoſitus eſt, nempe Accipere. Quanto vero meliores nos & magis piæ! Non dicimus,

φεύσομεν ὀμνύουσι τοῖς ἐρασταῖς ὅτι φιλοῦσιν ἡμᾶς. οὐδ' ἀξιοῦμεν ἀδελφαῖς καὶ μητράσι μίγνυσθαι τοὺς ἄνδρας, ἀλλ' οὐδὲ γυναιξὶν ἀλλοτρίαις. εἰ μὴ ὅτι τὰς νεφέλας ὁπόθεν εἶεν, καὶ τὰς ἀτόμους ὁποῖαι, ἀγνοοῦμεν, διὰ τοῦτο ἥττους δοκοῦμέν σοι τῶν σοφιστῶν. καὶ αὐτὴ παρὰ τούτοις ἐσχόλακα καὶ πολλοῖς διείλεγμαι. οὐδεὶς ἑταίραις ὁμιλῶν τυραννίδας ὀνειροπολεῖ καὶ φασιάζει τὰ κοινά. ἀλλὰ σπάσας τὸν ἑωθινὸν καὶ μεθυσθεὶς, εἰς ὥραν τρίτην ἢ τετάρτην ἡρεμεῖ. παιδεύομεν δὲ οὐ χεῖρον ἡμεῖς τοὺς νέους. ἐπεὶ σύγκρινον εἰ βούλει Ἀσπασίαν τὴν ἑταίραν καὶ Σωκράτην τὸν σοφιστὴν, καὶ πότερος ἄμεινον αὐτῶν ἐπαίδευσεν ἄνδρας λόγισαι. τῆς μὲν γὰρ ὄψει μαθητὴν Περικλέα· τοῦ δὲ, Κριτίαν. καταβαλλε τὴν μωρίαν ταύτην καὶ ἀηδίαν, ὁ ἐμὸς ἔρως Εὐθύδημε· οὐ πρέπει σκυθρωποῖς εἶναι τοιού-

non esse Deos, sed credimus jurantibus amatoribus quòd nos ament. Neque volumus ut cum sororibus & matribus rem habeant viri: sed ne cum alienis quidem uxoribus. Nisi forte quia nubes unde existant, & atomi quales sint, ignoramus, ob eam causam Sophistis deteriores tibi videmur. Et ipsa his vacavi, & cum multis disserui. Nemo cum meretricibus consuetudinem habens tyrannides somniat, & seditionibus Remp. turbat; sed matutino potu *quis* inebriatus, in tertiam aut quartam horam quiescit. Instituimus autem nos non deterius adolescentes. Etenim contende, si vis, inter se meretricem Aspasiam & Socratem illum Sophistam: & uter ipsorum melius docuerit viros considera. Illius enim videbis discipulum Periclem; hujus Critiam. Depone istam stultitiam & insuavitatem, meus Amor o Euthydeme: (Non decet tristis

τοις ὄμμασι. καὶ πρὸς τὴν ἐρωμένην ἥκε τὴν ἑαυτοῦ εἶος ἐπανελθὼν ἀπὸ Λυκίου πολλάκις τὸν ἱδρῶτα ἀποψώμενος. ἵνα μικρὰ κραιπαλήσαντες ἐπιδειξώμεθα ἀλλήλοις τὸ καλὸν τέλος τῆς ἡδονῆς. καὶ σοὶ νῦν μάλιστά γε φανοῦμαι σοφή. οὐ μακρὸν δίδωσιν ὁ δαίμων χρόνον τοῦ ζῆν. μὴ λάθῃς τοῦτον εἰς αἰνίγματα καὶ λήρους ἀναλώσας.

ΣΙΜΑΛΙ'ΩΝ ΠΕΤΑ'ΛΗ.

Εἰ μὲν ἡδονὴν σοί τινα φέρειν ἢ φιλοτιμίαν πρός τινας τῶν διαλεγομένων οἴει, τὸ πολλάκις ἡμᾶς ἐπὶ τὰς θύρας φοιτᾶν, καὶ τοῖς πεμπομένοις πρὸς τοὺς εὐτυχεστέρους ἡμῶν θεραπαινιδίοις ἀποδύρεσθαι, οὐκ ἀλόγως ἡμῖν ἐντρυφᾷς. ἴσθι μέν τοι, καί τι ποιῶν οἶδα πρᾶγμα ἀσύμφορον ἐμαυτῷ,

& tetricus adſpectus tales oculos.) et ad Amicam veni tuam, qualis a Lyceo reverſus ſæpe *venielbas* ſudorem abſtergens; ut cum pauxillùm vino indulſerimus oſtendamus nobis mutuo pulchrum illum finem voluptatis. Et tibi nunc equidem quam maximè videbor ſapiens. Non longum dat Deus tempus vivendi. ne committas ut illud imprudens in ænigmata & nugas impendas. Vale.

SIMALION PETALÆ. XXXV.

Si voluptatem tibi aliquam adferre aut honorem apud nonnullos confabulantium id exiſtimas, quòd frequenter ad fores tuas accedimus, & coram ancillulis, quæ ad feliciores quam nos ſumus mittuntur, conquerimur; non immerito nobis inſultas. Scito tamen, quan-

οὕτω με διακείμενον ὡς ὀλίγοι τῶν ἐντυγχανόντων σοι νῦν ἀμεληθέντες ἂν διατεθεῖεν. καί τοι γε ὤμην τὸν ἄκρατον ἔσεσθαί μοι κατηγόρημα ὃν παρ' Εὐφρονίῳ τρίτην ἑσπέραν πολλήν τινα ἐφορησάμην ὡς δὴ τὰς παρὰ τὴν νυκτὰ φροντίδας διωσόμενος, τότε δὲ ἄρα ἐναντίως ἔσχεν. ἀνερρίπισε γάρ μου τὴν ἐπιθυμίαν, ὥσε κλαίοντά με καὶ βρυχώμενον, ἐλεεῖσθαι μὲν παρὰ τοῖς ἐπιεικεστέροις· γέλωτα δὲ τοῖς ἄλλοις παρέχειν. μικρὰ δὲ ἔπεσι μοι παραψυχὴ καὶ μαραινόμενον ἤδη παραμύθιον· ὅ μοι ὑπὸ τὴν λυπρὰν τῷ συμποσίῳ μέμψιν προσέρριψας ἀπ' αὐτῶν περισπάσασα τῶν πλοκάμων. ὡς δὴ πᾶσι τοῖς ὑφ' ἡμῶν πεμφθεῖσιν ἀχθομένη. εἰ δή σοι τοῦτο ἡδονὴν φέρει, ἀπόλαυε τῆς ἡμετέρας μερίμνης. κἂν ἦ σοι φίλον διηγοῦ τοῖς νῦν μὲν μακαριωτέροις ἡμῶν, οὐκ εἰς μακρὰν δὲ ἂν ὥσπερ ἡμεῖς ἔχωσιν

quam non ſim neſcius me rem mihi inutilem facere, ſic me affectum eſſe, ut pauci eorum qui nunc tecum rem habent affecti eſſent, ſi abs te contemnerentur. Putabam equidem merum illud mihi ſolatio fore quod apud Euphronium tertio abhinc veſpere largâ copiâ hauſeram, tanquam ſcilicet nocturnas curas propulſaturus; id vero contra accidit. excitavit enim libidinem meam: ita ut lacrymans & rugiens æquioribus quidem commiſerationem, reliquis autem riſum excitarem. Exiguum quiddam mihi reſtat quod me reficiat, & langueſcens jam ſolatium, quod in me ſub triſtem illam in convivio conqueſtionem jaculata es, ex ipſis capillis evellens. quaſi non omnibus quæ a nobis mittuntur offendaris. Si ergo voluptatem tibi hæc afferunt, fruere noſtra ſollicitudine; &, ſi tibi videtur, narra illis qui nunc ſunt nobis beatiores; non multo

ἀνι-

ἀνιᾶτομένοις. ἔυχου μέν τοι μηδέν σοι νεμεσῆσαι ταύτης τῆς ὑπερηφίας τὴν Ἀφροδίτην. ἕτερος ἂν λοιδορούμενος ἔγραφε καὶ ἀπειλῶν· ἀλλ' ἐγὼ δεόμενος καὶ ἀντιβολῶν. ἐρῶ γὰρ· ὦ Πετάλη κακῶς. Φοβοῦμαι δὲ μὴ κάκιον ἔχων μιμήσομάί τινα τῶν περὶ τὰς ἐρωτικὰς μέμψεις ἀτυχεστέρων.

ΠΕΤΑΛΗ ΣΙΜΑΛΙΩΝΙ.

Ἠβουλόμην μὲν ὑπὸ δακρύων ἑταίρας τρέφεσθαι ἐπίλαν. λαμπρῶς γὰρ ἂν ἔπραττον ἀφλέγνων τούτων ἀπολαύουσα παρὰ σοῦ· νῦν δὲ δεῖ χρυσίου ἡμῖν, ἱματίων, κόσμου, θεραπαινίδων. ἡ τοῦ βίου διοίκησις ἅπασα ἐντεῦθεν. οὐκ ἔστιν ἐν Μυρρινοῦντι πατρῷον ἐμοὶ κτημάτιον, οὐδ' ἐν τοῖς ἀργυρίοις ἐμοὶ μέταλλον, ἀλλὰ μισθωμάτιά καὶ αἱ δυσ-

post vero, cùm ipsis ut nobis res ceciderit, dolorem percipient. precare tamen, nequid ob hanc superbiam Venus tibi succenseat. Alius fortasse ad te scribens objurgasset, ego autem precor & supplico. Amo enim o Petala perdite. & vereor ne pejus adhuc affectus, imiter aliquem eorum qui circa amatorias querelas sunt nimis infelices.

PETALA SIMALIONI. XXXVI.

VEllem equidem lacrymis ali meretricis familiam. Splendide enim viverem, uberes eas abs te percipiens. Nunc vero opus est auro nobis, vestibus, ornatu, ancillis. Hinc pendet omnis vitæ ratio ac cura. Non habeo in Myrrhinunte paternam possessionem, nec in argenti fodinis metallum, sed mercedulas, & infelicia ista ac gemitibus plena stultorum ama-

χεῖς αὗται καὶ κατεσεναγμέναι τῶν ἀνοήτων ἐρασῶν χάριτες. σὶ δὲ ἐνιαυτὸν ἐντυγχάνουσα ἀδημονῶ. καὶ αὐχμηρὰν μὲν ἔχω τὴν κεφαλὴν, μηδὲ ἰδοῦσα τὸν χρόνον τοῦτον μύσον· τὰ δὲ ἀρχαῖα καὶ τρίχινα προβαλλομένη Ταραντινίδια αἰσχύνομαι τὰς φίλας. οὕτως ἀγαθόν τί μοι γένοιτο. εἶτα ὅτει μέ σοι παρακαθημένην ποθὲν ζῆσειν ; ἀλλὰ δακρύεις ; πεπαύτη μετὰ μικρόν. ἐγὼ δὲ ἂν μή τις ὁ διδοὺς ᾖ, πεινήσω τὸ καλόν. θαυμάζω δέ σου καὶ τὰ δάκρυα ὡς ἔξιν ἀπίθανα. δέσποινα Ἀφροδίτη. Φιλεῖς ἄνθρωπε Φῆς, καὶ βούλει σοι τὴν ἐρωμένην διαλέγεσθαι. ζῆν γὰρ χωρὶς ἐκείνης μὴ δύνασθαι. τί οὖν οὐ ποτήριχ ἐσὶν ἐπὶ τῆς οἰκίας ὑμῖν, μὴ χρυσία τῆς μητρὸς, μὴ δάνεια τοῦ πατρὸς κομισύμενος. μακαρία Φιλότης, τοῖς ἐυμενεσέροις ὄμμασιν εἶδον ἐκείνην αἱ Χάριτες, οἷον ἐρασὴν ἔχει Μενεκλείδην,

torum munuſcula. Tecum vero annum nunc conſuetudinem habens tædio maceror. & tum caput habeo ſqualidum, ut quæ ne viderim quidem per iſtud tempus unguentum: tum vero his vetuſtis & cilicinis amiciri Tarentinis veſtibus apud amicas pudet, ita mihi bene ſit. Et tu putas me tibi aſſiſtentem alicunde victum habituram? At vero lacrymaris? brevi deſines. Ego autem niſi ſit qui det, eſuritura ſum probe. Miror vero & lacrymas tuas quam ſint abſurdæ. Proh domina Venus! Amas, mi homo, ut ais, & vis amicam tibi copiam ſui facere: vivere enim ſine illa te non poſſe *ais*. Quid? ergone nulla ſunt pocula vobis domi? nonne aurum matris, nonne fœnus patris *clam* exactum allaturus? Beata Philotis! faventioribus oculis eam adſpexerunt Gratiæ. qualem amatorem habet Meneclidem! qui quotidie dat aliquid. me-

ἢ καθ' ἡμέραν δίδωσί τι. ἄμεινον γὰρ ἢ κλάειν. ἐγὼ δὲ ἡ τάλαινα θρηνῳδὸν οὐκ ἐρασὴν ἔχω, σεφάνιά μοι καὶ ῥόδα ὥσπερ ἀώρῳ τάφῳ πέμπει. καὶ κλάειν δὶ ὅλης φησὶ τῆς νυκτός. ἐὰν φέρῃς τὶ ἧκε μὴ κλαίων, εἰ δὲ μὴ, σεαυτὸν οὐχ ἡμᾶς ἀνιάσεις.

MYRRHINA NICIPPÆ. XXXVII.

Ὁ Τ προσέχει μοι τὸν νοῦν Διόφιλος, ἀλλὰ ἅπας ἐπὶ τὴν ἀκάθαρτον Θεττάλην νένευκε, καὶ μέχρι μὲν τῶν Ἀδωνίων καὶ ἐπίκωμός ποτε πρὸς ἡμᾶς καὶ κοιμησόμενος ἐφοίτα. ἤδη μέν τοι ὡς ἄν τις ἀκιζόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν καὶ τά γε πλεῖστα ὑπὸ τοῦ Ἕλικος ὁπότε μεθυσθείη ὁδηγούμενος· ἐκεῖνος γὰρ τῆς Ἑρπυλλίδος ἐρᾶν τὴν παρ' ἡμῖν ἠγάπα σχολήν. νῦν μέν τοι δῆλός ἐστι

NOn habet mei rationem Diphilus, sed totus ad impuram illam Thessalam propendet. Equidem usque ad Adonia etiam comessabundus ad nos ac dormiturus veniebat; jam tum tamen quasi aliquis fastidiosus & amasium seipsum faciens, ac plerumque ab Helice cùm ebrius esset deductus; (ille enim Herpyllidem amans apud nos otiari non aspernabatur) nunc autem palam præ se fert se prorsus non ad nos ventu-

μὴ δ' ὅλως ἡμῖν ἐντευξόμενος. τέσσαρας γὰρ ἐξῆς ἡμέρας ἐν τῷ Λύσιδος κήπῳ μετὰ Θεττάλης καὶ τοῦ κάκις' ἀπολουμένου Στρογγυλίωνος, ὃς ταύτην αὐτῷ προὐμνηστεύσατο τὴν ἐρωμένην ἐμοί τι προσκρούσας, κραιπαλᾷ. γραμματίδια μὲν οὖν καὶ θερραπαινίδων διαδρομαὶ καὶ ὅσα τοιαῦτα, μάτην διήνυσαι καὶ οὐδὲν ἐξ αὐτῶν ὄφελος. δοκεῖ δέ μοι μᾶλλον ὑπὸ τούτων τετυφῶσθαι καὶ ὑπερεντρυφᾶν ἡμῖν. λοιπὸν οὖν ἀποκλείειν, κἂν ἔλθῃ ποτὲ πρὸς ἡμᾶς κοιμηθησόμενος, εἰ δὴ κνίσαι ποτὲ ἐκείνην βουληθείη, διασώσασθαι. εἴωθε γὰρ ἡ βαρύτης τῷ ἀμελεῖσθαι καταβάλλεσθαι. ἐὰν δὲ μὴ δ' οὕτως ἀνύσιμεν, θερμοτέρου τινὸς ἡμῖν ὥσπερ τοῖς σφόδρα κάμνουσι Φαρμάκου δεῖ. δεινὸν γὰρ οὐ τοῦτο μόνον εἰ τῶν παρ' αὐτοῦ μισθωμάτων στερησόμεθα, ἀλλ' εἰ Θεττάλῃ γέλωτα παρέξομεν. ἔστι σοι πειρασθὲν

rum. quatuor enim totos ex ordine dies in Lysidis horto cum Theſſala & perditiſſimo illo Strongilione (qui hanc ei conciliavit amicam, mihi nonnihil offenſus) comeſſatur. Literæ quidem *ad eum miſſæ* & famularum diſcurſitationes, & quæ ejus generis ſunt, hæc fruſtra ſunt transacta, & nullus inde uſus. immo videtur mihi ex iſtis magis inflatus eſſe, & nobis illudere. Reliquum eſt igitur ut *eum* excludamus, atque ſi aliquando ad nos venerit dormiturus, etiamſi illam moleſtia voluerit afficere, repellamus. ſolet enim faſtus ſi contemnatur frangi. Quod ſi ne ſic quidem aliquid effecerimus, vehementiore quodam nobis, ut illis qui valde ægrotant, opus remedio. Etenim non illud ſolum grave & intolerabile eſt, ſi mercede quæ ab eo proficiſcitur privabimur; verum ſi Theſſalæ ridendi materiam præbebimus. Eſt tibi probatum, ut

ὰς Φὴς πολλάκις ἐΦ' ἡλικίας Φίλτρον, τοιούτου τινὸς βοηθήματος δεόμεθα, ὃ τὸν πολὺν αὐτοῦ τύΦον ἀλλ' οὖν καὶ τὴν κραιπάλην ἐκκορήσειεν. ἐπικηρυκευσόμεθα δὴ αὐτῷ καὶ δακρύσομεν πιθανῶς, καὶ τὴν Νέμεσιν δεῖν αὐτὸν ὁρᾷν εἰ οὕτως ἐμὲ περιόψεται ἐρῶσαν αὐτοῦ, καὶ τοιαῦτα ἄλλα ἐροῦμεν καὶ πλασόμεθα. ἥξει γὰρ ὡς ἐλεῶν δήπου με κακομένην ἐπ' αὐτῷ· μεμνῆσθαι γὰρ τοῦ παρελθόντος χρόνου καὶ τῆς συνηθείας ἔχειν καλῶς ἐρεῖ, Φυσῶν ἑαυτὸν ὁ λάξαυρος. συλλήψεται δὲ ἡμῖν καὶ ὁ Ἕλιξ· ἐπ' ἐκεῖνον γὰρ ἡ Ἑρπυλλὶς ἀποδύσεται. ἀλλ' ἀμΦιβάλλειν εἴωθε τὰ Φίλτρα καὶ ἀποσκήπτειν εἰς ὄλεθρον. βραχύ μοι μέλει. δεῖ γὰρ αὐτὸν ἢ ἐμοὶ ζῆν ἢ τεθνάναι Θεττάλῃ.

ais, perſæpe in adoleſcentia philtrum. ejusmodi quodam indigemus auxilio, quod nimium ejus factum atque etiam temulentiam *quaſi ſcopis* expurget. Nuncios itaque quaſi de pace ad eum mittemus, & lacrymabimus apte ad fidem faciendam: atque oportere eum, deam ultionis reſpicere ſi me, ſic amantem ipſum, negligat: aliaque id genus dicemus, atque fingemus. Veniet nimirum miſeratus amore ipſius ardentem; meminiſſe enim præteriti temporis & conſuetudinis æquum eſſe & honeſtum dicet, inflans ſeipſum impurus. Accommodabit etiam operam ſuam nobis Helix; ad illum enim Herpyllis ſe accinget. Sed dubia ſolent eſſe philtra, & in perniciem erumpere. parum id curo. oportet enim eum aut mihi vivere, aut Theſſalæ mori,

ΜΕΝΕΚΛΕΙΔΗΣ ΕΥΘΥΚΛΕΙ.

Ὄ"χεται Βακχὶς ἡ καλὴ Εὐθύκλεις Φίλτατε ὄ"χεται· πολλά τέ μοι καταλιποῦσα δάκρυα καὶ ἔρωτος ὅσον ἡδίστου τὸ τέλος οὐ πονηροῦ τὴν μνήμην. οὐ γὰρ ἐκλήσομαι ποτὲ Βακχίδος. οὐχ οὕτως ἔξαι χρόνος. ὅσην συμπάθειαν ἐνεδείξατο. ἀπολογίαν ἐκείνην καλῶν οὐκ ἄν τις ἁμαρτάνοι τοῦ τῶν ἑταιρῶν βίου. καὶ εἰ συνελθοῦσαι ἅπασαι πανταχόθεν εἰκόνα τινὰ αὐτῆς ἐν Ἀφροδίτης ἢ Χαρίτων θεῖεν, ἐξιὸν ἄν τι μοι ποιῆσαι δοκοῦσιν. τὸ γὰρ θρυλλούμενον ὑπὸ πάντων, ὡς πονηραὶ, ὡς ἄπιστοι, ὡς πρὸς τὸ λυσιτελὲς βλέπουσαι μόνον, ὡς ἀεὶ τοῦ διδόντος, καὶ τίνος οὐκ ἄιτιαι κακοῦ τοῖς ἐντυγχάνουσι, διαβολὴν ἐπέδειξεν ἀφ' ἑαυτῆς ἄδικον. οὕτω πρὸς τὴν κοινὴν βλασφημίαν τῷ ἤθει παρετάξατο.

MENECLIDES EUTHYCLI. XXXVIII.

DEceſſit formoſa Bacchis, Euthycles chariſſime, deceſſit! multasque mihi lacrymas reliquit, & amoris quam dulciſſimi, nec poſtremo mali tamen, memoriam. Non enim obliviſcar unquam Bacchidis. non veniet illud tempus. Quantam propenſionem voluntatis præ ſe tulit! Defenſionem eam ſi quis vocet vitæ meretricum, non erraverit. &, ſi congreſſæ in unum omnes undique, ſimulacrum quoddam ejus in Veneris aut Gratiarum *templo* collocarent, rem bellam feciſſe mihi viderentur. Nam quod ab omnibus cantatur, eas malas eſſe, infidas, ad lucrum duntaxat reſpicere, ſemper danti adhærere: enim vero cujus non mali cauſas eſſe eis, qui rem cum ipſis habent? *hæc omnia* calumniam eſſe injuſtam oſtendit ſuo exemplo.

οἶσθα τὸν Μήδειον ἐκεῖνον τὸν ἀπὸ Συρίας δευρὶ κατάραντα μεθ' ὅσης παρασκευῆς καὶ θεραπείας ἐσόβει, ἐνευρύχους ὑπισχνούμενος καὶ θεραπαίνας καὶ κόσμον τινὰ βαρβαρικόν. καὶ ὅμως ἄκουσα αὐτὸν οὐ προσίετο· ἀλλ' ὑπὸ τοὐμοῦ ἠγάπα κοιμωμένη χλανίσκιον τὸ λιτὸν τοῦτο καὶ δημοτικόν. καὶ τοῖς παρ' ἡμῶν γλίσχρως αὐτῇ πεμπομένοις ἐπανέχουσα, τὰς Σατραπικὰς ἐκείνας καὶ πολυχρύσους δωρεὰς διωθεῖτο. τί δὲ τὸν Αἰγύπτιον ἔμπορον ὡς ἀπεσκοράκισεν, ὅσον ἀργυρίου προτείνοντα. οὐδὲν ἐκείνης ἄμεινον εὖ οἶδ' ὅτι γένοιτ' ἄν. ὡς χρηστὸν ἦθος οὐκ εἰς εὐδαίμονα βίου προαίρεσιν δαίμων τις ὑπήνεγκεν. εἶτ' οἴχεται ἡμᾶς ἀπολιποῦσα, καὶ κέισεται λοιπὸν μόνη ἡ Βακχίς. ὡς ἄδικον ὦ φίλαι μοῖραι. ἔδει γὰρ αὐτῇ συγκατακεῖσθάι με καὶ νῦν ὡς τότε. ἀλλ' ἐγὼ μὲν περίειμι καὶ τροφῆς ψαύω,

adeo cum moribus ſuis oppoſuerat ſe communi maledicentiæ. Scis Medum illum qui à Syria huc appulerat, quanta cum famulorum turba & apparatu ſe inferebat! Eunuchos pollicens & ancillas & ornatum quendam Barbaricum; & tamen volens eum non admittebat: ſed contenta erat ſi ſub mea læna dormiret, ſub hac tenui & vulgari: & quæ a nobis parce mittebantur iis acquieſcens, ſatrapica illa & aurata dona repellebat. Quid vero? Aegyptium illum mercatorem ut rejecit! quantum auri porrigentem! Nihil illâ melius ſat ſcio fieri poſſet. Quam bonos mores non extulerat fortuna ad felicis vitæ condi ionem. Ergo deceſſit, nobis relictis, & jacebit in poſterum ſola Bacchis! quàm iniquum o charæ Parcæ! oportebat enim cum illa me nunc etiam jacere, ut tunc. At ego ſuperſtes ſum, & cibum attingo, & cum ſodalibus ſer-

καὶ διαλέξομαι τοῖς ἑταίροις. ἡ δὲ οὐκ ἔτι με φιλοφρόσι τοῖς ὄμμασιν ὄψεται μειδιῶσα. οὐδὲ ἵλεως καὶ εὐμενὴς διανυκτερεύσει τοῖς ἡδίστοις ἐκείνοις κολάσμασιν. ἀρτίως μὲν οἷον ἐφθέγγετο, οἷον ἔβλεπεν. ὅσαι ταῖς ὁμιλίαις αὐτῆς σειρῆνες ἐνίδρυντο. ὡς δὲ ἡδύ τι καὶ ἀκήρατον ἀπὸ τῶν φιλημάτων νέκταρ ἔσταζεν· ἐπ' ἄκροις μοι δοκεῖ τοῖς χείλεσιν αὐτῆς ἐκάθισεν ἡ πειθώ. ἅπαντα ἐκείνη γε τὸν κεχὸν ὑπεζώσατο. ὅλαις τριξὶ Χάρισι τὴν Ἀφροδίτην δεξιωσαμένη. ἔῤῥει τὰ παρὰ τὰς πόσεις μινυρίσματα. καὶ ἡ τοῖς ἐλεφαντίνοις δακτύλοις κρουομένη λύρα ἔῤῥει. κεῖται δὲ ἡ πάσχις μέλουσα Χάρισι κωφὴ, λίθος, καὶ σπιδιά. καὶ Μεγάρα μὲν ἡ ἱππόπορνος ζῇ οὕτω Θεαγένη συλήσασα ἀνηλεῶς, ὡς ἐκ πάνυ λαμπρᾶς οὐσίας τὸν ἄθλιον χλαμύδιον ἁρπάσαντα καὶ πέλτην οἴχεσθαι στρατευσόμενον· Βακχὶς δὲ ἡ

mones miſcebo; illa vero non amplius me hilaribus oculis ſpectabit ſubridens: nec, placida ac clemens noctem tranſiget in jucundiſſimis illis caſtigatiunculis. Tantùm modò ut loquebatur, ut intuebatur! quot Sirenes in colloquiis ejus ſitæ erant! Quam vero ſuave & intemeratum ab oſculis nectar ſtillabat. In ſummis ut mihi perſuadeo labris ejus ſedit Suada. Totum illa ceſtum ſibi circumdederat, cum omnibus ſimul Gratiis Venerem complexa. Evanuerunt illæ inter potandum cantillationes: & illa eburneis digitis pulſari ſolita lyra evanuit. Jacet illa omnibus adamata Gratiis, muta, lapis, & cinis. Ac Megara quidem immane ſcortum vivit, quæ Theagenem ita crudeliter deprædata eſt, ut ex tam ſplendidis facultatibus miſer ille arreptâ chlamydulâ & parmâ abierit militatum; Bacchis autem quæ amatorem diligebat mortua

τὸν ἐρασὴν Φιλοῦσα ἀπέθανε. ῥᾴων γέγονα πρὸς σὲ ἀποδυρόμενος Εὐθύκλεις φίλτατε. ἡδύ γάρ μοι τὶ δοκεῖ περὶ ἐκείνης καὶ λαλεῖν καὶ γράφειν. οὐδὲν γὰρ ἢ τὸ μεμνῆσθαι καταλέλειπται. Ἔρρωσο.

ΜΕΓΑΡΑ ΒΑΚΧΙΔΙ.

Σὲ μόνῃ ἐρασὴς γέγονεν ὃν φιλεῖς οὕτως ὥστε τὸ μὴ δὲ ἀκριβῶς αὐτοῦ διαζευχθῆναι δύνασθαι. τῆς ἀκδίας. δέσποινα Ἀφροδίτη. κληθεῖσα ὑπὸ Γλυκέρας εἰς τοσοῦτον χρόνον. ἀπὸ τῶν Διονυσίων γὰρ ὑμῖν ἀπήγγειλεν. οὐχ ἥκεις εἰ μὴ δι ἐκείνην. οὐδὲ τὰς φίλας ἰδεῖν γυναῖκας ἀνασχομένη. σώφρων γέγονας σὺ καὶ φιλεῖς τὸν ἐρασήν. μακαρία τῆς εὐφημίας· ἡμεῖς δὲ καὶ πόρναι καὶ ἀκόλαστοι. ὑπῆρξε καὶ Φίλωνι συκίνη βακτηρία. ὀργίζομαι

est! Levatus nonnihil sum apud te lamentis effusis Euthycles charissime. dulce enim quiddam mihi videtur de illa loqui & scribere: nihil enim aliud quam meminisse reliquum est. Vale.

MEGARA BACCHIDI. XXXIX.

Tibi soli amator contigit, quem ita diligis, ut, quod dicitur, ne gry quidem ab eo sejungi possis. Quæ hæc est insuavitas, proh Domina Venus! cùm sis invitata tam longo tempore à Glycera; (inde à Dionysiis enim vobis nunciavit) non venis; opinor, propter illum neque amicas tuas videre sustinens. Casta tu facta es, & diligis amatorem. Beata ob hanc laudem! Nos vero scorta, & protervæ. Fuit & Philoni ficulneus baculus. irascor enim, per

γὰρ νὴ τὴν μεγάλην θεόν. πᾶσαι γὰρ ἦμεν, Θεττάλη, Μυρρίνη, Χρυσίον, Εὐξίππη. ὅπου καὶ Φιλουμένη καί τοι γεγαμημένη προσφάτως καὶ ζηλοτυπουμένη, τὸν καλὸν ἀποκοιμίσασα τὸν ἄνδρα, ἐψὲ μὲν ὅμως δὲ παρῆν. σὺ δὲ ἡμῖν μόνη τὸν Ἄδωνιν περιέψυχες, μή που καταλειφθέντα αὐτὸν ὑπὸ σοῦ τῆς Ἀφροδίτης, ἡ Περσεφόνη παραλάβῃ. εἷον ἡμῶν ἐγένετο τὸ συμπόσιον. τί γὰρ οὐχ ἅψομάι σου τῆς καρδίας, ὅσων χαρίτων πλῆρες. ᾠδαὶ, σκώμματα, πότος εἰς ἀλεκτρυόνων ᾠδὰς, μύρα, στέφανοι, τραγήματα. ὑποσκίοις τισὶ δάφναις ἦν ἡ κατάκλισις. ἓν μόνον ἡμῖν ἔλειπε, σύ· τὰ δ' ἄλλα, οὗ. πολλάκις ἐκραιπαλήσαμεν· οὕτω δὲ ἡδέως, ὀλιγάκις. τὸ γοῦν πλέισην ἡμῖν παρασκευάσαν τέρψιν, δεινή τις Φιλονεικία κατέσχε Θρυαλλίδα καὶ Μυρρίνην ὑπὲρ τῆς πυγῆς· ποτέρα κρείττω καὶ ἀ-

Magnam Deam. Omnes aderamus, Theſſala, Myrrhina, Chryſium, Euxippe: quin & Philumena quamvis recens nupta, & zelotypiæ mariti obnoxia, ſero quidem attamen aderat, ſopito egregio illo marito. Tu vero nobis ſola Adonin fovebas, ne forte relictum eum à te ſuâ Venere, Proſerpina ad ſe traduceret. Quale convivium nobis fuit! (cur enim cor tuum non pungam?) quot Gratiis plenum! cantiones, ſalſa dicteria, compotatio usque ad gallorum cantum, unguenta, coronæ, bellaria. ſub umbroſis quibusdam lauris erat accubatio. unum nobis ſolum deerat, tu: cætera minime. Sæpe comeſſatæ ſumus: rarò tam ſuaviter. Quod vero maximam nobis peperit delectationem: gravis quædam contentio erat in Thryallidem & Myrrhinam de natibus, utra meliores & teneriores oſtendere poſſet. atque primum Myrrhina ſoluto cingulo:

παλωτέραν ἐπιδείξει. καὶ πρώτη Μυβρίνη τὸ ζώνιον λύσασα, βόμβυξ δ' ἦν τὸ χιτώνιον, δι' αὐτοῦ τρέμουσαν οἷόν τι μελίπηκτον γάλα τὴν ὀσφῦν ἀνεσάλευσεν, ὑποβλέπουσα εἰς τοὐπίσω πρὸς τὰ κινήματα τῆς πυγῆς. ἠρέμα δ' οἷον ἐνεργοῦσά τι ἐρωτικὸν ὑπεξέναξεν. ὥστε ἐμὲ νὴ τὴν Ἀφροδίτην κατεπλαγῆναι. οὐ μὴν ἀπεῖπέ γε ἡ Θρυαλλίς, ἀλλὰ τῇ ἀκολασίᾳ παρευδοκίμησεν αὐτήν. οὐ γὰρ διὰ παραπετασμάτων ἐγώ φησιν ἀγωνίσομαι, οὐδὲ ἀκιζομένη, ἀλλ' οἷον ἐν γυμνικῷ· καὶ γὰρ οὐ φιλεῖ προφάσεις ἀγών. ἀπεδύσατο τὸ χιτώνιον· καὶ μικρὸν ὑποσιμώσασα τὴν ὀσφῦν, ἰδοὺ σκόπει τὸ χρῶμα φησὶν ὡς ἀκριβὲς Μυβρίνη, ὡς ἀκήρατον, ὡς καθαρόν. τὰ πορφυρᾶ τῶν ἰσχίων ταυτί· τὴν ἐπὶ τοὺς μηροὺς ἔγκρισιν, τὸ μήτε ὑπέργκον αὐτῷ μήτε ἄσαρκον, τοὺς γελασίνους ἐπ' ἄκρων. ἀλλ'

bombycinum autem erat ei indusium: per hoc tremulos, tanquam recens coagulatum lac, lumbos agitare cœpit, respectans retro ad motus clunium: leviter autem veluti patrans quiddam Venereum nornihil suspirabat. ut ego, ita me Venus, obstupuerim. Non tamen animum despondebat Thryallis: immo protervitatis gloriam ei præripuit. Non enim, inquit, ego per vela certabo, neque tergiversando, sed tanquam in gymnico certamine; nullos enim amat prætextus certamen: Exuit indusium: & paululum obliquans lumbos, en adspice colorem inquit, quam exactus, ô Myrrhina, quam intemeratus, quam purus! purpuram *vide* in natibus hancce, & commissuram ad femora, & quam istorum nihil neque nimis turgidum, neque carne defectum. gelasinos *specta* in extremitatibus. Sed non tremunt profecto *meæ* ut Myrrhinæ *nates*,

οὐ τρέμει νὴ Δία, ἀλλ' ὑπομειδιῶσα ὥσπερ ἡ Μυρρίνη. καὶ τοσοῦτον παλμὸν ἐξειργάσατο τῆς πυγῆς, καὶ ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφῦν τῇδε καὶ τῇδε ὥσπερ ῥέουσαν περιεδίνησεν, ὥστε ἀναπροτῆσαι πάσας, καὶ νίκην ἀποφήνασθαι τῆς Θρυαλλίδος. ἐγένοντο δὲ καὶ περὶ ἄλλων συγκρίσεις, καὶ περὶ μαστορίων ἀγῶνες. τῆς μὲν γὰρ Φιλουμένης γαστρὶ ἀντεξετασθῆναι οὐδ' ἡτισοῦν ἐθάρσησεν· ἄτοκος γὰρ ἦν καὶ σφριγῶσα. καταπαννυχίσασαι γοῦν καὶ τοὺς ἐραστὰς κακῶς εἰποῦσαι καὶ ἄλλων ἐπιτυχεῖν εὐξάμεναι, ἀεὶ γὰρ ἡδίων ἡ πρόσφατος ἀφροδίτη, ᾠχόμεθα ἔξοινοι. πολλὰ δὲ κατὰ τὴν ὁδὸν κραιπαλήσασαι, ἐπεκωμάσαμεν Δεξιμάχῳ κατὰ τὸν χρυσοῦν σενωπὸν, ὡς ἐπὶ τὴν ἄγνον κατιόντι πλησίον τῆς Μενέφρονος οἰκίας. ἐρᾷ γὰρ αὐτοῦ Θαΐς κακῶς. καὶ νὴ Δία εἰκότως· ἔναγχος γὰρ πλούσιον κεκληρονόμηκε πατέρα τὸ μειράκιον. Νῦν μὲν οὖν

verùm ſubrident. Atque tantam vibrationem excitavit natium, totasque ſupra lumbos huc illuc tanquam fluentes circumagitavit; ut plauſum tolleremus univerſæ, & victoriam Thryallidis eſſe pronunciaremus. Fuerunt etiam de aliis rebus comparationes, & de mamillis certamina. nam Philumenæ quidem ventri nulla ſe opponere auſa eſt; ſterilis enim erat & ſucculenta. Cùm igitur totam noctem transegiſſemus, & amatoribus male dixiſſemus, & ut alios nanciſceremur precatæ eſſemus; (ſemper enim gratior recens Venus) diſceſſimus bene potæ. Cùm autem multa quæ fert ebrietas in via deſignaſſemus, comiſſatum ivimus ad Deximachum in aureo angiporto quà itur ad Agnon prope Menephronis ædes. Amat enim eum Thais perditè. & certè merito; nuper enim opulenti patris bo-

συγνώμην ἔχομέν σοι τῆς ὑπεροψίας· τοῖς Ἀλώοις δὲ ἐν Κολυττῷ ἑστιώμεθα παρὰ τῷ Θεττάλης ἐρασῇ. τὸν γὰρ τῆς Ἀφροδίτης ἐρώμενον ἡ Θεττάλη σέλλει. ὅπως δ' ἥξεις φέρουσα κήτιον καὶ κοράλλιον, καὶ τὸν Ἄδωνιν ὃν νῦν περιψύχεις· μετὰ γὰρ τῶν ἐρασῶν κραιπαλήσομεν. Ἔρρωσο.

ΦΙΛΟΤΜΕΝΗ ΚΡΙΤΩΝΙ.

Τί πολλὰ γράφων ἀνιᾷς σεαυτόν; πεντηκοντά σοι χρυσῶν δεῖ, καὶ γραμμάτων οὐ δεῖ. εἰ μὲν οὖν φιλεῖς, δός. εἰ δὲ φιλαργυρεῖς, μὴ ἐνόχλει. Ἔρρωσο.

na ad adoleſcentem hæreditate pervenerunt. Nunc quidem damus tibi veniam ſuperbiæ. Sed feſto Aloorum in Colytto epulabimur apud Theſſalæ amatorem; nam Veneris amatorem Theſſala adornat. fac ergo ut venias tecum habens cetium & corallium, & Adonin quem nunc foves. Cum amatoribus enim perpotabimus. Vale.

PHILUMENA CRITONI. XL.

QUid multa ſcribendo crucias teipſum? quinquaginta aureis nummis opus eſt, literis vero nihil opus eſt. Si igitur amas, da; ſi autem avarus es ac tenax, ne ſis moleſtus. Vale.

LIBER II.

ΛΑΜΙΑ ΔΗΜΗΤΡΙΩι.

Σὺ ταύτης τῆς παῤῥησίας αἴτιος· ὢν βασιλεὺς, εἶτα ἐπιτρέψας καὶ ἑταίρᾳ γράφειν σοι· καὶ οὐχ ἡγησάμενος δεινὸν ἐντυγχάνειν τοῖς ἐμοῖς γράμμασιν ὅλῃ μοι ἐντυγχάνων. ἐγὼ δέσποτα Δημήτριε ὅταν μὲν ἔξω σε θεάσωμαι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν σφατοπέδων καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ τὴν Ἀφροδίτην πέφρικα καὶ δέδοικα καὶ ταράττομαι καὶ ἀποστρέφομαι ὡς τὸν ἥλιον μὴ ἐπικαῶ τὰ ὄμματα· καὶ τότε μοι ὄντως ὁ πολιορκητὴς εἶναι δοκεῖς Δημήτριος· οἷον δὲ καὶ βλέπεις τότε ὡς μικρὸν καὶ πολεμικόν· καὶ ἀπισῶ ἐμαυτῇ καὶ λέγω. Λάμια, σὺ μετὰ τοῦδε καθεύδεις; σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς;

LAMIA DEMETRIO. I.

TU libertatis hujus cauſa es. qui cùm Rex ſis, tamen meretrici ad te ſcribendi facultatem conceſſiſti: quique non putaveris indignum facinus, meas literas accipere, cùm me totam accipias. Equidem Domine Demetri, quando foris te video, & audio, cum ſatellitibus, & exercitibus, & Legatis, & diadematis, ita mihi Venus propitia ſit, horreo & metuo, & perturbor, & me averto tanquam à ſole ne adurar oculos: atque tunc mihi verè Poliorceta ille eſſe videris Demetrius. ut vero etiam intueris tunc! quàm terribile & bellicum! atque ego mihi ipſi non credo, dicoque: Lamia, tu cum iſto dormis? tu tota nocte tibiis huic cantas? tibi nunc iſte literas miſit? tibi Gna-

σοὶ νῦν οὗτος ἐπέσταλκε; σοὶ Γναθαιναν τὴν ἑταίραν συγκρίνει; καὶ ἠλογημένη σιωπῶ καὶ εὐχομένη θεάσασθαι παρ' ἑαυτῇ. καὶ ὅταν ἔλθῃς προσκυνῶ σε. καὶ ὅταν περιπλακεὶς μέγα φιλῇς, πάλιν πρὸς ἐμαυτὴν τἀναντία λέγω. οὗτός ἐστιν ὁ πολιορκητὴς; οὗτός ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις; τοῦτον φοβεῖται Μακεδονία; τοῦτον ἡ Ἑλλάς; τοῦτον ἡ Θράκη; νὴ τὴν Ἀφροδίτην σήμερον αὐτοῖς τοῖς ἀυλοῖς ἐκπολιορκήσω, καὶ ὄψομαι τί με διαθήσει. μεῖνον εἰς τρίτην, παρ' ἐμοὶ γὰρ δειπνήσεις, δέομαι. τὰ Ἀφροδίσια ποιῶ ταῦτα κατ' ἔτος. καὶ ἀγῶνα ἔχω εἰ τὰ πρότερα τοῖς ὑστέροις νικᾷ. ὑποδέξομάι δέ σε ἐπαφροδίτως καὶ ὡς ἔνι μάλιστα πιθανῶς, ἄν μοι περιουσιῶσαι γένηται ὑπὸ σοῦ, μηδὲν ἀνάξιον τῶν σῶν ἀγαθῶν ἐξ ἐκείνης τῆς ἱερᾶς νυκτὸς ἔτι πεποιηκυῖα, κἀιτοι σοῦ τε ἐπιτρέποντος ὅπως ἂν βού-

thænam meretricem comparat? atque animi dubia taceo, precans ut apud me *te* videam. et cum veneris, adoro te, & quando circumfusus me impensius oscularis, rursus ad meipsam contraria dico: hiccine est ille expugnator? hiccine ille in exercitibus? hunc timet Macedonia? hunc Græcia? hunc Thracia? ita Venus mihi faveat ut hunc tibiis meis hodie expugnabo, ac videbo quid mihi facturus sit. Mane ad tertium usque diem, nam apud me cœnabis, rogo. Hæc sacra Veneris facio quotannis: & quasi certo atque contendo si priora a posterioribus vincantur. Excipiam autem te jucunde & quàm maxime fieri potest Veneris sacris convenienter: si copia abs te suppeditetur; quandoquidem nihil adhuc indignum tuis bonis, feci, post sacram illam noctem, te licet concedente ut quemadmodum vellem uterer meo corpore; sed recte eo

λωμαι χρῆσθαι τῷ ἐμῷ σώματι· ἀλλὰ κέχρημαι καλῶς καὶ ἀμίκτως πρὸς ἑτέρους. οὐ ποιήσω τὸ ἑταιρικόν· οὐδὲ ψεύσομαι δέσποτα ὡς ἄλλαι ποιοῦσιν. ἐμοὶ γὰρ ἐξ ἐκείνου μὰ τὴν Ἄρτεμιν οὐδὲ προσέβλεψαν ἔτι πολλοί· δυδὲ ἐπείρασαν, ἀιδούμενόι σου τὰς πολιορκίας. ὀξύς ἐσιν ἔρως ὦ βασιλεῦ καὶ ἐλθεῖν καὶ ἀναπτῆναι. ἐλπίσας πτεροῦται· καὶ ἀπελπίσας ταχὺ πτεροῤῥυεῖν ἔιωθεν ἀπογνωσθέις. διὸ καὶ μέγα τῶν ἑταιρουσῶν ἐσι σόφισμα, ἀεὶ τὸ παρὸν τῆς ἀπολάυσεως ὑπερτιθεμένας, ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐρασάς. πρὸς ὑμᾶς δὲ οὐδὲ ὑπερτίθεσθαι ἔξεσιν. ὥσε Φόβον εἶναι κόρον. λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν, ποιεῖν· τὰ δὲ, μαλακίζεσθαι· τὰ δὲ, δειπνοποιεῖν· τὰ δὲ, κοσμεῖν σοι τὸν οἶκον· τὰς δὲ, ὁπωσοῦν ἄλλως ταχὺ μαρκινομένας μεσολαβούσας χρήσεις, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστήμασι

usa sum, neque promiscue ad alios. non faciam quod meretrices solent: neque mentiar Domine ut aliæ faciunt. me enim ex illo tempore, ita Diana mihi sit propitia, neque amplius adspexerunt multi: neque tentarunt, reveriti tuas expugnationes. Velox est amor, ô Rex, & veniendo & avolando: sperans alatus fit; spe finitâ, mox ei pennæ defluunt desperato. Quapropter magnum est meretricum artificium, semper imminentem fruitionem amoris differendo, spe retinere amatores. (apud vos autem nec differre *nobis* licet, utpote timentibus fastidium *vestrum*) itaque nos oportet modo facere officium; modo infirmâ valetudine esse, *in speciem scilicet*, modo coenas instruere, modo domum ornare, intercipientes fruitionem, quavis de causa aliàs cito marcescentem: ut magis incendantur intervallis captu faciliores ipsorum

εὐκ-

ἐυαλούςερκι ἀυτῶν αἱ ψυχαὶ Φοβουμένων μὴ ἄλλο πάλιν γένηται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα. ταῦτα δὲ πρὸς μὲν ἑτάιρους τάχα ἂν ἐδυνάμην, βασιλεῦ, Φυλάττεσθαι καὶ τεχνιτεύειν· πρὸς δὲ σὲ ὃς οὕτως ἤδη ἔχεις ἐπ' ἐμοὶ ὡς ἐπιδεικνύναι με καὶ ἀγάλλεσθαι πρὸς τὰς ἄλλας ἑτάιρας, ὅτι πασῶν ἐγὼ πρωτεύω, μὰ τὰς Φίλας Μούσας, οὐκ ἂν ὑπομείναιμι πλάττεσθαι. οὐχ οὕτως εἰμὶ λιθίνη. ὥςε ἀφεῖσα πάντα καὶ τὴν ψυχὴν ἐμαυτῆς εἰς ἀρέσκειαν, ὀλίγον ἡγήσομαι δαπανῆσαι. εὖ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ Θηριπίδου οἰκίᾳ, ἐν ᾗ μέλλω σοι τὸ τῶν Ἀφροδισίων ἐυτρεπίζειν δεῖπνον, ἔςαι διαβόητος ἡ παρασκευὴ, ἀλλὰ καὶ ἐν ὅλῃ τῇ Ἀθηνάιων πόλει, νὴ τὴν Ἄρτεμιν, καὶ ἐν τῇ Ἑλλάδι. καὶ μάλιςα ὁι μισητοὶ Λακεδαιμόνιοι, ἵνα δοκῶσιν ἄνδρες εἶναι ὁι ἐν Ἐφέσῳ ἀλώπεκες, οὐ παύσονται τοῖς Ταῦγέτοις ὄρεσι καὶ ταῖς ἐρημίαις

animi, timentium ne aliud rurſus oboriatur præſentis fortunæ impedimentum. Hæc apud alios fortaſſe poſſim, ô Rex, fingere & machinari; apud te autem qui ita jam affectus erga me es, ut oſtentes me, & apud alias meretrices glorieris quaſi ego omnibus præcellam, ita mihi charæ Muſæ faveant, ut ego non ſuſtineam *aliquid* fingere. non tam ſum lapidea. Itaque ſi amittam omnia, & animam meam, ut tibi placeam, parum putabo me impendiſſe. Probè enim ſcio non ſolùm in Theripidis domo in qua inſtructura tibi ſum hanc Venereæ feſtivitatis cœnam, hunc apparatum celebrem futurum, verum etiam in univerſa Athenienſium urbe, per Dianam, & in Græcia, & præcipue inviſi illi Lacedæmonii, ut videantur viri eſſe, qui in Epheſo erant vulpeculæ, non deſinent

ἑαυτῶν διαβάλλοντες ἡμῶν τὰ δεῖπνα· καταλυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας. ἀλλ' αὐτοὶ μὲν χαιρόντων, δέσποτα· σὺ δὲ ἐμοὶ μέμνησο φυλάξαι τὴν ἡμέραν τοῦ δείπνου, καὶ τὴν ὥραν ἣν ἂν ἕλῃ, ἀρίστη γὰρ ἣν βούλει. Ἔρρωσο.

ΛΕΟΝΤΙΟΝ ΛΑΜΙΑΙ. Βι.

Οὐδὲν δυσαρεστότερον ὡς ἔοικεν ἐπὶ πάλιν μειρακιευομένου πρεσβύτου. οἷά με Ἐπίκουρος οὗτος διοικεῖ, πάντα λοιδορῶν, πάντα ὑποπτεύων, ἐπιστολὰς ἀδιαλύτους μοι γράφων, ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ τὴν Ἀφροδίτην εἰ Ἄδωνις ἦν ἤδη ἐγγὺς ὀγδοήκοντα γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος καὶ φιλοσοφοῦντος καὶ καταπεπιλημένου εὖ μάλα πόκοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ

in Taygetis montibus & solitudinibus suis reprehendere nostras cœnas: crepantes Lycurgi instituta contra tuas humanas affectiones. Sed illi valeant, Domine; tu vero mihi memento observare diem cœnæ, & horam quamcumque elegeris. optima enim erit quam volueris. Vale.

LEONTIUM LAMIÆ. II.

Nihil morosius est, ut videtur, rursus adolescenturiente sene. Hem! ut me Epicurus iste tractat, in omnibus rebus jurgator, in omnibus suspicax: epistolas indissolubiles mihi scribens: expellens ex horto. Ita me Venus amet, si Adonis esset, jam prope octoginta natus annos, non eum tolerarem, pediculosum, morbidum, & contectum probe velleribus pro panno. Quousque tolerabit quis hunc philo-

φις τὸν φιλόσοφον τοῦτον; ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας δόξας, καὶ τοὺς διεγραμμένους κανόνας· ἐμὲ δὲ ἐφέτω τὴν μουσικῶς κυρίαν ἐμαυτῆς ἀσομάχητον καὶ ἀνύβριστον. ὄντως ἐπιπολιορκητὴν ἔχω τοιοῦτον, οὐχ οἷον σὺ Λάμια Δημήτριον. μὴ γὰρ ἐξὶ σωφρονίσαι διὰ τὸν ἄνθρωπον τοῦτον. καὶ Σωκρατίζειν καὶ σωμυλεύεσθαι θέλει καὶ εἰρωνεύεσθαι· καὶ Ἀλκιβιάδην τινὰ ἢ Πυθοκλέα νομίζει, καὶ Ξανθίππην ἐμὲ οἴεται ποιήσειν. κἀὶ πέρας ἀναξᾶσα ὅπῃ ποτε γῆν πρὸ γῆς φεύξομαι μᾶλλον, ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς διασπάσους ἀνέξομαι. ὃ δὲ πάντων δεινότατον ἤδη καὶ ἀφορητότατον ἐτόλμησεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν, τί μοι ποιητέον, ἐπέσταλκά σοι. Τίμαρχον τὸν καλὸν οἶσθα τὸν Κηφισιάθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οὐκ οἰκείως ἔχειν ἐκ πολλοῦ. πρὸς σέ μοι

ſophum! Habeat ſibi ſuas de rerum natura ratas Sententias, & diſtortos Canones; me autem quæ commode mei juris ſum, ſinat absque ſtomacho & moleſtia. Revera oppugnatorem hunc talem habeo, non qualem tu Lamia Demetrium Numquid enim licet modeſte vivere propter hunc hominem? Socratem quoque imitari & garrire vult, & diſſimulationibus uti; & inſtar Alcibiadis alicujus habet Pythoclem: meque Xanthippen arbitratur ſe facturum. Poſtremo equidem proripiam me & quolibet potius fugiam, terram terrâ commutans, quàm epiſtolas ejus illas inconditas tolerabo. Quod vero omnium graviſſimum & minime tolerabile auſus eſt, de quo etiam conſilium volens petere, quid mihi facto opus ſit, ad te ſcripſi: Timarchum illum pulchrum noſti, illum Cephiſienſem? non nego, adoleſcenti familiariter me addictam eſſe

τἀληθῆ λέγειν εἰκὸς Λάμια. καὶ τὴν πρώτην Ἀφροδίτην ἔμαθον παρ' αὐτοῦ σχεδόν. οὗτος γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου πάντα μοι ταγαθὰ πέμπων οὐ διαλέλοιπεν· ἐσθῆτα, χρυσεῖα, θεραπαίνας, θεράποντας, Ἰνδοὺς, Ἰνδάς. τἆλλα σιωπῶ. ἀλλὰ τὰ μικρότατα προσλαμβάνει τὰς ὥρας ἵνα μηδεὶς φθάσῃ με γευσάμενος. τοιοῦτον νῦν ἐρασὴν ἀπόκλεισόν φησι καὶ μὴ προσίτω σοι, ποίοις, δοκεῖς, αὐτὸν ἀποκαλῶν ὀνόμασιν, οὔτε ὡς Ἀττικὸς, οὔτε ὡς Φιλόσοφος, ἐκ Καππαδοκίας πρῶτος τὴν Ἑλλάδα ἥκων. ἐγὼ δὲ εἰ καὶ ὅλη γένοιτο ἡ Ἀθηναίων πόλις Ἐπικούρων, μὰ τὴν Ἄρτεμιν, οὐ ζυγοστατήσω πάντας αὐτοὺς πρὸς τὸν Τιμάρχου βραχίονα· μᾶλλον δὲ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σοι λέγεις Λάμια οὐκ ἀληθῆ ταῦτα οὐ δίκαια φημί; καὶ μὴ δὴ, δέομαί σου

jamdudum: (apud te verum me fateri par eſt Lamia.) & primam Venerem ſub illo fere ſum experta; hic enim me devirginavit in vicinia habitantem. ex illo tempore omnia mihi bona mittere non ceſſavit, veſtem, aurum, ancillas, ſervos, Indos, Indas: cætera taceo; quin & minutiſſima anticipat, tempeſtivos fructus ne quis me præveniat guſtando. Talem igitur amatorem, exclude, inquit, neque ad te accedat: quibus, putas, eum nominibus appellans! neque ut Atticus, neque ut philoſophus; *ſed ut* ex Cappadocia *aliquis* primarius in Græciam delatus. Ego vero etiamſi tota conſtet Athenienſium civitas ex Epicuris, non, ita mihi Diana ſit propitia, comparabo omnes eos ad Timarchi brachium, immo nec ad unum digitum. Quid tu dicis Lamia? non vera hæc, non juſta dico? Atque per Venerem obſecro ne tibi iſt-

πρὸς τῆς Ἀφροδίτης, μή σοι ταῦτα ὑπελθέτω· ἀλλα φιλόσοφος· ἀλλὰ ἐπιφανής· ἀλλὰ πολλοῖς φίλοις κεχρημένος. λαβέτω καὶ ἃ ἔχω. διδασκέτω δ' ἄλλους. ἐμὲ δὲ οὐδὲν θάλπει τὶ δόξα. ἄλλ' ὃν θέλω δὸς Τίμαρχον Δάματερ. ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασαι ὁ νεανίσκος καταλιπὼν τὸ Λύκειον, καὶ τὴν ἑαυτοῦ νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρίαν, μετ' αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς ὑπηνέμους αὐτοῦ δόξας. ὁ Ἀτρεὺς οὗτος ἔξελθε, φησὶν, ἐκ τῆς ἐμῆς μοναρχίας καὶ μὴ πρόσιθι Λεοντίῳ. ὡς οὐ δικαιότερον ἐκείνου ἐροῦντος, σὺ μὲν οὖν μὴ πρόσιθι τῇ ἐμῇ. καὶ ὁ μὲν, νεανίσκος ὤν, ἀνέχεται τὸν ἕτερον ἀντερασὴν γέροντα· ὁ δὲ, τὸν δικαιότερον οὐχ ὑπομένει. τί πεισόμεθα πρὸς τῶν θεῶν ἱκετεύω σε Λάμια. νὴ τὰ μυστήρια, νὴ τούτων τῶν κακῶν ἀπαλλαγὴν ὡς ἐνθυμηθεῖσα τοῦ Τιμάρχου τὸν χωρισμὸν, ἄρτι ἀπέ-

hæc in mentem veniant: Sed philoſophus, ſed illuſtris, ſed multis amicis uſus. Sumat & quæ habeo: & doceat alios; me nihil movet gloria: ſed quem volo da Timarchum ô Ceres. Sed vero etiam propter me, omnibus coactus eſt adoleſcens relictis, Lyceo, juventute tua & ſodalibus atque ſocietate, cum ipſo vivere, atque aſſentari ipſi & celebrare ventoſas ejus Sententias. Atreus iſte, exi, inquit, ex meo regno, ne accede ad Leontium. quaſi vero non majore jure ille dicturus ſit: immo tu ne accedas ad meam. Et ille quidem adoleſcens cùm ſit, patitur alterum rivalem ſenem; iſte vero eum qui majore jure gaudet, non patitur. Quid faciam, per deos obſecro te, Lamia? Per ſacra initiorum juro, per horum malorum averſionem, ut ego, reputans Timarchi ſegregatio-

ψυγμαι. καὶ ἱδρῶ. καὶ τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέσραπται. δέομάι σου δέξαι με πρὸς σεαυτὴν ἡμέρας ὀλίγας. καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλίκων ἀπήλαυεν ἀγαθῶν, ἔχων ἐν τῇ οἰκίᾳ με. οὐκ ἔτι φέρει τὸν κόρον εὖ οἶδα. πρεσβευτὰς ἐυθὺς πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμαχον καὶ Πολύαινον. ποσάκις εἶει με Λάμια πρὸς ἀυτὸν ἰδίᾳ παραγενομένην εἰπεῖν· τί ποιεῖς Ἐπίκουρε; οὐκ οἶσθα ὅτι διακωμῳδεῖ σε Τιμοκράτης ὁ Μητροδώρου ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις ἐν τοῖς θεάτροις παρὰ τοῖς ἄλλοις σοφισαῖς; ἀλλὰ τί ἐστιν ἀυτῷ ποιῆσαι; ἀνάισχυντός ἐστι τὸ ἐρᾶν. καὶ ἐγὼ ἔσομαι τοίνυν ὁμοίως ἀυτῷ ἀνάισχυντος, καὶ οὐκ ἀφήσω τὸν ἐμὸν Τίμαρχον. Ἔρρωσο.

nem, modo exanimata ſum, & ſudo, & cor mihi ſubvertitur. Rogo te ut me ad te accipias ad paucos dies. & faxo ut iſte ſentiat, quantis fruitus ſit bonis, cùm me domi haberet. Non amplius fert contemptum, ſat ſcio. nuncios mox ad nos mittet, Metrodorum & Hermachum & Polyænum. Quoties putas me Lamia cùm ſeorſum eſſem apud illum, dixiſſe: quid facis Epicure? An neſcis te traducere Timocratem Metrodori F. ob hæc in concionibus, in theatris, apud reliquos Sophiſtas? Sed quid illo homine agas? impudens eſt in amando. & ego ero igitur ſicut ille impudens, & non deſeram meum Timarchum. Vale.

ΜΕΝΑΝΔΡΟΣ ΓΛΥΚΕΡΑΙ.

Ἐγὼ μὰ τὰς Ἐλευσινίας θεὰς, μὰ τὰ μυστήρια αὐτῶν ἃ σοι καὶ ἐναντίον ἐκείνων ὤμοσα πολλάκις Γλυκέρα μόνος μόνη, ὡς οὐδὲν ἐπαίρω τὰ ἐμά. οὐδὲ βουλόμενός σοι χαρίζεσθαι, ταῦτα καὶ λέγω καὶ γράφω. τί γὰρ ἐμοὶ χαρίς σου γένοιτ' ἂν ἥδιον; τί δ' ἐπαρθῆναι μεῖζον τῆς σῆς Φιλίας δυνάμην; εἰ καὶ τὸ ἔσχατον γῆρας διὰ τοὺς σοὺς τρόπους καὶ ἦθη, νεότης ἀεὶ Φανεῖταί μοι. καὶ συννεάσαιμεν ἀλλήλοις καὶ συγγηράσαιμεν, καὶ νὴ τοὺς θεούς, συνθάνοιμεν. ἵνα μηδετέρῳ ἡμῶν ἐν ᾅδου συγκαταβάιη τὶς ζῆλος. ἢ τινῶν ἄλλων ὁ σωθεὶς πειράσεται ἀγαθῶν. μὴ δὲ γένοιτό μοι πειραθῆναι σοῦ μηκέτ' οὔσης· τί γὰρ ἂν ἔτι καταλείποιτο ἀγαθόν; ἃ δὲ νῦν ἤπειξέ με ἐν Πειραιεῖ μα-

MENANDER GLYCERÆ. III.

Ego, per Eleusinias Deas juro, per mysteria earum, per quæ tibi coram ipsis juravi sæpe, mea Glycera solus soli, ut mea non extollo: neque quasi a te velim discedere hæc dico & scribo. Quid enim mihi sine te esse possit dulce? Qua vero in re possim magis extolli & gloriari quam in tua amicitia? Etiam ultima senectus nostra propter tuos mores & ingenium juventus semper videbitur mihi. Et in juventute una simus, & in senectute, & profecto in morte; ne cum alterutro nostrum ad inferos descendat aliqua invidia; si qua alia superstes experietur bona. ne verò mihi contingat *al qua* experiri te mortuâ. quid enim amplius reliquum esset boni? Quæ verò nunc me impulerunt in Piræeo subinfirma valetudine utentem, nosti

λακιζόμενον, οἶσθα γάρ μου τὰς συνήθεις ἀσθενείας ἃς οἱ μὴ Φιλοῦντές με τρυφὰς καὶ σαλακωνίας καλεῖν ἐιώθασιν, ἐπιστεῖλαί σοι ἐν ἄστει μενούσῃ διὰ τὰ Ἀλῶα τῆς θεοῦ, ταῦτ' ἐστίν. ἐδεξάμην ἀπὸ Πτολεμαίου τοῦ βασιλέως Αἰγύπτου γράμματα· ἐν οἷς δεῖταί μου πάσας δεήσεις, καὶ προτρέπεται βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγόμενον τοῦτο τὰ τῆς γῆς ἀγαθὰ, ἐμὲ καὶ Φιλήμονα. καὶ γὰρ ἐκείνῳ γράμματα κεκομίσθαι Φασί· καὶ αὐτὸς δὲ ὁ Φιλήμων ἐπέστειλέ μοι τὰ ἴδια δηλῶν ἐλαφρότερα καὶ ὡς οὐ Μενάνδρῳ γεγραμμένα ἧττον λαμπρά. ἀλλ' ὄψεται καὶ βουλεύσεται τὰ ἴδια οὗτος. ἐγὼ δὲ οὐ περιμενῶ βουλάς. ἀλλὰ σύ μοι Γλυκέρα καὶ γνώμη καὶ Ἀρεοπαγίτις βουλὴ, καὶ Ἡλιαία, ἅπαντα νὴ τὴν Ἀθηνᾶν ἀεὶ γέγονας, καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ βασιλέως σοι διεπεμψάμην, ἵνα μὴ

autem meas consuetas infirmitates, quas qui non amant me delicias & mollitiem appellare solent) scribere tibi in urbe commoranti propter Haloa deæ, hæc sunt. Accepi à Ptolemæo rege Aegypti literas, in quibus rogat omnibus modis, & adhortatur, (regaliter promittens, quod dicitur, Terræ bona) me & Philemonem; nam & illi literas allatas esse ajunt: atque ipse etiam Philemon scripsit mihi suas indicans, leviores, atque, utpote non ad Menandrum scriptas, minus splendidas. Sed videbit & deliberabit de suis rebus ille. Ego vero consilia non expectabo; sed tu mihi, Glycera, & sententia & Areopagiticum consilium, & Heliæa, omnia *tu*, ita Minerva mihi faveat, fuisti & nunc eris. Equidem regis epistolam tibi transmisi, ne molestus tibi sim, ut eadem bis in meis & illius literis legas; quæ vero decrevi ei scribere,

κόπτω σε δὶς καὶ τοῖς ἐμοῖς καὶ τοῖς ἐκείνου γράμμασιν ἐντυγχάνουσαν· ἃ δὲ ἐπισέλλειν αὐτῷ ἔγνων, κἂν βούλομάι σε εἰδέναι. πλεῖν μὲν καὶ εἰς Αἴγυπτον ἀπιέναι μακρὰν οὕτω καὶ ἀπωκισμένην βασιλείαν οὖσαν, μὰ τοὺς δώδεκα θεοὺς, οὐδὲ ἐνθυμοῦμαι. ἀλλ' οὐδὲ εἰ ἐν Αἰγίνῃ ταύτῃ γε τῇ πλησίον ἔκειτο Αἴγυπτος, οὐδ' οὕτως ἐν νῷ ἂν ἔσχον, ἀφεὶς τὴν ἐμὴν βασιλείαν τῆς σῆς Φιλίας, μόνος ἐν τοσούτῳ ὄχλῳ Αἰγυπτίων χαρὶς Γλυκέρας ἐρημίαν πολυάνθρωπον ὁρᾷν. ἥδιον γὰρ καὶ ἀκινδυνότερον τὰς σὰς θεραπεύω μᾶλλον ἀγκάλας, ἢ τὰς ἁπάντων τῶν σατραπῶν καὶ βασιλέων. ἐπικίνδυνον μὲν οὖν τὸ ἀνελεύθερον, ἐυκαταφρόνητον δὲ τὸ κολακεῦον, ἄπιστον δὲ τὸ εὐτυχούμενον. ἐγὼ δὲ καὶ τὰς ἡρακλείους καὶ τὰ καρχήσια καὶ τὰς χρυσίδας καὶ πάντα τὰ ἐν ταῖς αὐλαῖς ἐπίφθονα παρὰ τούτοις ἀγαθὰ φυόμενα, τῶν κατ' ἔτος χοῶν καὶ τῶν

volo ut tu quoque ſcias. Navigare quidem, & in Aegyptum proficiſci, tam longinquum & remotum regnum, teſtes ipſi duodecim dii, ne in animum quidem induco: ſed, neque ſi in Aegina iſta proxima jaceret Aegyptus, ne ſic quidem in animo haberem, ut relicto meo regno tuæ amicitiæ, ſolus in tanta turba Aegyptiorum ſine Glycera ſolitudinem populoſam viderem. Suavius enim & minore cum periculo tuos colo amplexus, quàm omnium Satraparum & Regum *aulas*. Res eſt periculoſa libertatis amiſſio: deſpecta, aſſentatio: infida, fortunæ favor. Ego, & Thericlea illa pocula, & carcheſia, & aureas phialas, & omnia iſta in aulis invidioſa, quæ apud hos bona naſcuntur, cum anniverſariis Choibus, cum theatralibus Lenæis, cum Chytris, cum Lycæi

ἐν τοῖς θεάτροις Δηναίων καὶ τῆς χθιζῆς ὁμολογίας καὶ τῶν τοῦ Λυκείου γυμνασίων, καὶ τῆς ἱερᾶς Ἀκαδημίας, οὐκ ἀλλάττομαι μὰ τὸν Διόνυσον καὶ τοὺς Βακχικοὺς αὐτοῦ κισσοὺς, οἷς στεφανωθῆναι μᾶλλον ἢ τοῖς Πτολεμαίου βούλομαι διαδήμασιν, ὁράσης καὶ καθημένης ἐν τῷ θεάτρῳ Γλυκέρας. ποῦ γὰρ ἐν Αἰγύπτῳ ὄψομαι ἐκκλησίαν καὶ ψῆφον ἀναδιδομένην. ποῦ δὲ δημοκρατικὸν ὄχλον οὕτως ἐλευθεριάζοντα. ποῦ δὲ θεσμοθέτας ἐν ταῖς ἱεραῖς κώμαις κεκισσωμένους. ποῖον περισχοίνισμα. ποίαν ἄιρεσιν. ποίους Χύτρους. Κεραμικόν. ἀγοράν. δικαστήρια. τὴν γειτνιῶσαν Σαλαμῖνα. τὴν Ψυτταλίαν. τὴν Μαραθῶνα. ὅλην ἐν ταῖς Ἀθήναις τὴν Ἑλλάδα, ὅλην τὴν Ἰωνίαν. τὰς Κυκλάδας πάσας. ἀφεὶς ταῦτα καὶ Γλυκέραν μετ' αὐτῶν, εἰς Αἴγυπτον διέλθω; χρυσὸν λαβεῖν καὶ ἄργυρον καὶ πλοῦτον; ᾧ μετὰ τίνος χρήσομαι μετὰ Γλυκέρας τοσοῦτον

exercitiis, & cum ſacrâ Academiâ, non accipio permutata, per Bacchum juro & Bacchicas ejus hederas, quibus coronari potius quam Ptolemæi volo diadematis, videnti & ſedenti in theatro Glycerâ. Ubi enim in Aegypto videbo concionem, & ſuffragia ferri? ubi in populari ſtatu Reip. plebem tanta libertate gaudentem? ubi legislatores in ſacris pagis hederâ ornatos? quem ambitum funiculo cinctum? quam electionem? quos Chytros? Ceramicum, forum, tribunalia, vicinam Salaminem, Pſyttaliam, Marathona; totam in urbe Athenarum Græciam, totam Ioniam, Cycladas inſulas univerſas: hæc *inquam* omnia, cumque his Glyceram, ego relinquam, & in Aegyptum abeam? ut aurum accipiam & argentum & divitias? quibus quocum utar, à Glycera tanto marium in-

διατεθαλασσευμένης; οὐ πενία δέ μοι ἔσαι χωρὶς
αὐτῆς ταῦτα; ἐὰν δὲ ἀκούσω τοὺς σεμνοὺς ἔρωτας
εἰς ἄλλον αὐτὴν μετατεθεικέναι, οὐ σποδός μοι
πάντες οἱ θησαυροὶ γενήσονται; καὶ ἀποθνήσκων
τὰς μὲν λύπας ἐμαυτῷ συναποίσω, τὰ δὲ χρήμα-
τα τοῖς ἰχνεύουσιν ἀδικεῖν ἐν μέσῳ κείσεται; ἢ μέ-
γα τὸ συμβιοῦν Πτολεμαίῳ καὶ σατράπαις καὶ
τοιούτοις ψόφοις· ὧν οὔτε τὸ φιλικὸν βέβαιον, οὔτε
τὸ διεχθρεῦον ἀκίνδυνον. ἐὰν δὲ ὀργισθῇ τί μοι Γλυ-
κέρα, ἅπαξ αὐτὴν ἁρπάξας κατεφίλησα· ἂν ἔτι
ὀργίζηται, μᾶλλον αὐτὴν ἐβιασάμην· κἂν βαρυθύ-
μως ἔχῃ, δεδάκρυκα. πρὸς ταῦτ' οὐκ ἔθ' ὑπομέι-
νασα τὰς ἐμὰς λύπας δεῖται λοιπὸν οὔτε στρατιώ-
τας ἔχουσα οὔτε δορυφόρους οὔτε φύλακας· ἐγὼ γὰρ
αὐτῆς εἰμὶ πάντα. ἢ μέγα καὶ θαυμαστὸν ἰδεῖν τὸν
καλὸν Νεῖλον. οὐ μέγα δὲ καὶ τὸν Εὐφράτην ἰδεῖν;

tervallo disjunctus? Nonne vero inopia mihi erunt sine illâ isthæc? Si autem audiero venerandos illos amores in alium eam transtulisse, nonne cinis mihi omnes thesauri fient? ac moriens *ego* mœrores quidem ipse mecum ablaturus sum, opes autem iis qui quærunt injurias facere in medio positæ erunt? An præclarum quid, apud Ptolemæum vivere, & Satrapas & ejusmodi inania nomina, quorum neque amicitia firma, neque inimicitia sine periculo? Si verò mihi Glycera fortè irascatur, semel ipsam arreptam deosculor: si adhuc irascatur, magis eam cogo; quòd si animo gravato sit, lacrymor. adhæc non amplius ferens meos mœrores, jam orat & rogat, nec milites habens, nec satellites, nec custodes. ego enim ei sum omnia. An magnum & mirabile videre Nilum? Nonne vero magnum quid & Euphratem videre? non-

οὐ μέγα καὶ τὸν Ἴστρον οὕτω μεγάλον. καὶ ὁ Θερμώδων. ὁ Τίγρης. ὁ Ἅλυς. ὁ Ῥῆνος. εἰ μέλλω πάντας τοὺς ποταμοὺς ὁρᾶν, καταβαπτισθήσεταί μοι τὸ ζῆν, μὴ βλέπον Γλυκέραν. ὁ δὲ Νεῖλος οὗτος καί περ ὢν καλὸς, ἀλλ' ἀποτεθηρίωται· καὶ οὐκ ἔστιν οὔτε προσελθεῖν αὐτοῦ ταῖς δίναις ἑλλοχωμένου τοσούτοις κακοῖς. ἐμοὶ γένοιτο βασιλεῦ Πτολεμαῖε τὸν Ἀττικὸν αἰεὶ σέφεσθαι κισσόν. ἐμοὶ γένοιτο χώματος καὶ τάφου πατρῴου τυχεῖν, καὶ τὸν ἐπ' ἐσχάρας ὑμνῆσαι κατ' ἔτος Διόνυσον· τὰς μυσηριώτιδας ἄγειν τελετάς· δραματουργεῖν τι καινὸν ταῖς ἑτησίαις θυμέλαις δρᾶμα, γελῶντα καὶ χάιρεντα καὶ ἀγωνιῶντα καὶ Φοβούμενον καὶ νικῶντα. Φιλήμων δὲ εὐτυχείτω τἀμὰ ἀγαθὰ, γενόμενος ἐν Αἰγύπτῳ. οὐκ ἔχει Φιλήμων Γλυκέραν τινά· οὐδὲ ἄξιος ἦν ἴσως τοῦ τοιούτου ἀγαθοῦ. σὺ δὲ ἐκ τῶν

ne magnum & Iſtrum tam ingentem? Thermodon, Tigris, Halys, Rhenus. Si debeo omnes fluvios videre, mergetur mihi vita carens aſpectu Glyceræ. Nilus autem iſte quamvis egregius ſit, aſt belluis eſt infeſtus. neque licet accedere ad ejus vortices, velut inſidias occultantis tanta mala. Mihi contingat ô Rex Ptolemæe ſemper Atticis hederis coronari: mihi contingat tumulo & ſepulchro patrio potiri, & ad aras celebrare quotannis Bacchum: myſtica ſacra obire: novam ſubinde in anniverſariis Ludis Scenicis agere fabulam, & ridenti, & gaudenti, & periclitanti, & metuenti, & vincenti; Philemon autem ſit fortunatus meis etiam bonis, in Aegypto conſtitutus. Non habet Philemon Glyceram aliquam: neque dignus erat fortaſſe tali bono. Tu vero poſt Haloa, quæſo, Glycerium, ſtatim advolans ad nos

Ἀλλ᾽ ἄν δέομαι Γλυκέριον ἐυθὺς πετομένη πρὸς ἡμᾶς ἐπὶ τῆς ἀτράβης φέρου. μακροτέραν ἑορτὴν οὐδέποτε ἔγνων, οὐδὲ ἀκαιροτέραν. Δήμητερ ἵλεως γενοῦ.

ΓΛΥΚΕΡΑ ΜΕΝΑΝΔΡΩι.

Ὡς διεπέμψω μοι τοῦ βασιλέως τὰς ἐπιστολὰς, ἐυθὺς ἀνέγνων. μὰ τὴν Καλλιγένειαν ἐν ᾗ νῦν εἰμὶ κατέχαιρον Μένανδρε ἐκπαθὴς ὑπὸ ἡδονῆς γινομένη. καὶ τὰς παρούσας οὐκ ἐλάνθανον. ἦν δὲ ἥ τε μήτηρ μου καὶ ἡ ἑτέρα ἀδελφὴ Εὐφόριον, καὶ τῶν φίλων ἣν οἶσθα, καὶ παρὰ σοὶ ἐδείπνησε πολλάκις, καὶ ἐπήνεις αὐτῆς τὸν ἐπιχώριον Ἀττικισμόν· ἀλλ᾽ ὡς φοβούμενος αὐτὴν ἐπαινεῖν, ὅτε καὶ μειδιάσασα θερμότερόν σε κατεφίλησα. οὐ μέμνησαι Μένανδρε; θεασάμεναι δέ με παρὰ τὸ

mulæ clitellariæ inequitans te confer. Longius festum nunquam fum expertus, neque intempestivius. Sis propitia ô Ceres.

GLYCERA MENANDRO. IV.

UT misisti mihi Regis literas continuo legi. Calligeniam testor in cujus æde nunc sum gaudio exultabam, mi Menander, ita ut mei compos non essem. & eas quæ aderant celare non poteram: erat autem mater mea, & altera soror Euphorium: & ex amicis quam nosti, & apud te sæpe cœnavit, laudabasque ejus vernaculum Atticismum, sed tanquam timens ipsam laudare, cùm etiam subridens calidius tibi oscu-lum dedi: non meministi mi Menander? Conspicatæ autem me præter solitum & oculis læ-

εἰωθὸς καὶ τῷ προσώπῳ καὶ τοῖς ὀφθαλμοῖς χαίρουσαν; ὦ Γλυκέριον ἤροντο· τί σοι τηλικοῦτον γέγονεν ἀγαθόν. ὅτι καὶ ψυχῇ καὶ σώματι καὶ πᾶσιν ἀλλοιωτέρα νῦν ἡμῖν πέφηνας; καὶ τὸ σῶμα γεγάνωσαι καὶ διαλάμπεις ἐπίχαρτόν τι καὶ εὐκταῖον. κἀγὼ Μένανδρον ἔφην τὸν ἐμὸν ὁ Αἰγύπτου βασιλεὺς Πτολεμαῖος ἐπὶ τῷ ἡμίσει τῆς βασιλείας τρόπον τινὰ μεταπέμπεται, μείζονι τῇ φωνῇ φθεγξαμένη καὶ σφοδροτέρᾳ, ὅπως πᾶσαι ἀκούσωσιν αἱ πάρουσαι. καὶ ταῦτα ἔλεγον ἐγὼ διατινάσσουσα καὶ σοβοῦσα ταῖς χερσὶν ἐμαυτῆς τὴν ἐπιστολὴν σὺν τῇ βασιλικῇ σφραγίδι. χαίροις οὖν ἀπολειπομένη, ἔφρασαν; τὸ δὲ οὐκ ἦν Μένανδρε. ἀλλὰ τοῦτο μὲν οὐδενὶ τρόπῳ μὰ τὰς θεὰς οὐδ' εἰ βοῦς μοι τὸ λεγόμενον φθέγξαιτο, πεισθείην ἄν, ὅτι βουλήσεταί με ποτὲ ἢ δυνήσεται Μένανδρος,

titiam præ me ferre, rogabant, ô Glyceriuni, quid tibi tantum boni accidit, quòd & animo & corpore tota mutata nunc nobis appares? & corpus amœnitate perfusa es, & coruscas læto quodam & exoptabili fulgore? Tum ego, MENANDRUM, inquam, MEUM REX AEGYPTI PTOLEMAEUS IN PARTEM REGNI QUODAMMODO VOCAT, majore voce locuta & vehementiore ut omnes audirent quæ aderant: atque hæc dicebam ego quatiens & vibrans Epistolam cum sigillo regio. Lætaberisne igitur si derelinquaris? ajebant. Id verò non erat, mi Menander. Sed hoc equidem nulla ratione profecto; ne si bos quidem, ut ajunt, mihi loqueretur, credam, Menandrum velle aut posse, relictâ Athenis Glycerâ suâ, solum in Aegypto regnare in omnium bonorum copia. Illud verò etiam satis ex literis quas legi, satis inquam,

ἀπολιπὼν ἐν Ἀθήναις Γλυκέραν τὴν ἑαυτοῦ, μόνος ἐν Αἰγύπτῳ βασιλεύειν μετὰ πάντων τῶν ἀγαθῶν. ἀλλὰ καὶ τοῦτό γε δῆλος ἐκ τῶν ἐπιστολῶν ἂν ἀνέγνων, δῆλος ἦν ὁ βασιλεὺς τἀμὰ πεπυσμένος ὡς ἔοικε περὶ σοῦ, καὶ ἀτρέμα δὶ ὑπονοιῶν Αἰγυπτίοις θέλων Ἀττικισμοῖς σε διατωθάζειν. χάιρω διὰ τοῦτο. ὅτι πεπλεύκασι καὶ εἰς Αἴγυπτον πρὸς αὐτὸν οἱ ἡμέτεροι ἔρωτες, καὶ πέιθεται πάντως ἐξ ὧν ἤκουσεν ἀδύνατον σπουδάζειν, ἐπιθυμῶν Ἀθήνας πρὸς αὐτὸν διαβῆναι. τί γὰρ Ἀθῆναι χωρὶς Μενάνδρου; τί δὲ Μένανδρος χωρὶς Γλυκέρας; ἥτις αὐτῷ καὶ τὰ προσωπεῖα διασκευάζω, καὶ τὰς ἐσθῆτας ἐνδύω, καὶ τοῖς προσκηνίοις ἔσηκα, τοὺς δακτύλους ἐμαυτῆς πιέζουσα ἤ ἂν κροταλίσῃ τὸ θέατρον· καὶ τρέμουσα τότε νὴ τὴν Ἄρτεμιν ἀναψύχω, καὶ περιβάλλουσά σε τὴν ἱερὰν τῶν δραμάτων ἐκείνην κεφαλὴν ἐναγκαλίζομαι. ἀλλ' ὅτι ταῖς φίλαις τότε

oſtendebat Rex, ſe de noſtris rebus inaudiviſſe, ut videtur: ſenſimque ſe velle per ſuſpiciones Aegyptiis Atticiſmis te pungere. Gaudeo propterea; quia navigarunt & in Aegyptum ad eum noſtri amores: & intelligit omnino ex iis quæ audivit ſe id velle quod fieri minime poteſt, dum cupit Athenas ad ipſum tranſire. Quid enim Athenæ ſine Menandro? Quid autem Menander ſine Glycera? quæ ei & perſonas adorno, & veſtes induo, & in proſceniis adſto digitos meos premens quacumque parte plauſum ediderint Spectatores: atque tremens tunc, ita me Diana amet, refocillo & amplectens te ſacrum comœdiarum illud caput in ulnis teneo. Quòd vero ad amicas tunc dixi me gaudere, hoc erat mi Menander, quòd non Glycera ſolùm ſed & reges transmarini amant

χαίρειν ἔφην, τοῦτ' ἦν Μένανδρε, ὅτι οὐκ ἄρα Γλυκέρα μόνον, ἀλλὰ καὶ βασιλεῖς ὑπὲρ θάλασσαν ἐρῶσί σου· καὶ διαπόντιοι φῆμαι τὰς σὰς ἀρετὰς κατηγγέλκασι. καὶ Αἴγυπτος καὶ Νεῖλος καὶ Πρώλεως καὶ ἀκρωτήρια καὶ αἱ Φάριαι σκοπιαὶ πάντα μετέωρα νῦν ἐστι βουλόμενα ἰδεῖν Μένανδρον καὶ ἀκοῦσαι φιλαργύρων καὶ ἐρώντων καὶ δεισιδαιμόνων καὶ ἀπίστων καὶ πατέρων καὶ υἱῶν καὶ θεραπόντων, καὶ παντὸς ἐνσκηνοβατουμένου· ὧν ἀκούσονται μὲν, οὐκ ὄψονται δὲ Μένανδρον εἰ μὴ ἐν ἅδῃ παρὰ Γλυκέρᾳ γένοιντο· καὶ τὴν ἐμὴν εὐδαιμονίαν ἴδοιεν τὸν πάντη διὰ τὸ κλέος αὐτοῦ Μένανδρον καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐμοὶ περικείμενον. οὐ μὴν ἀλλ' ἔιγε ἄρα πόθος αἱρεῖ σέ τις καὶ τῶν ἐκεῖ ἀγαθῶν, καὶ εἰ μηδενὸς ἄλλου, τῆς γε Αἰγύπτου, χρήματος μεγάλου καὶ τῶν αὐτόθι πυραμίδων καὶ τῶν

te, & mare transgreſſa fama, tuas virtutes annunciavit: & Aegyptus atque Nilus ac Protei promontoria, & Phariæ ſpeculæ, omnia jam erecta & intenta ſunt, cupientia videre Menandrum, & audire Avaros, & Amantes, & Superſtitioſos, & Infideles, & Patres, & Filios, & Servos, & quemvis in ſcenam productum: de quibus audient quidem; non videbunt autem Menandrum, niſi in urbe apud Glyceram fuerint, & meam felicitatem adſpexerint: illum *inquam* qui ubique eſt famâ ſuâ Menandrum nocte dieque mihi circumfuſum. Nihilominus tamen ſi fortè deſiderium te quoddam capit eorum, quæ ibi ſunt, bonorum, ſi vel nullius alterius, ſaltem ipſius Aegypti, rei præclaræ, & earum quæ ibi ſunt Pyramidum, & vocalium Statuarum, & celebris illius Labyrinthi, & cæterorum quæ propter ætatem &

πα-

περιηχούντων ἀγαλμάτων καὶ τοῦ περιβοήτου Λαβυρίνθου καὶ τῶν ἄλλων ὅσα ἀπὸ χρόνου ἢ τέχνης παρ' αὐτοῖς τίμια, δέομαί σου Μένανδρε μὴ ποιήσῃ με πρόφασιν· μὴ δέ με Ἀθηναῖοι διὰ ταῦτα μισησάτωσαν, ἤδη τοὺς μεθίμενους ἀριθμοῦντες οὓς ὁ βασιλεὺς αὐτοῖς πέμψει διὰ σέ. ἀλλ' ἄπιθι πᾶσι θεοῖς, ἀγαθῇ τύχῃ, δεξιοῖς πνεύμασι, Διὶ σύριῳ. ἐγὼ γάρ σε οὐκ ἀπολείψω. μὴ τοῦτο δόξῃς με λέγειν, οὐδ' αὐτὴ δύναμαι κἂν θέλω. ἀλλὰ παρεῖσα τὴν μητέρα καὶ τὰς ἀδελφὰς αὐτῆς ἕσομαί συμπλέουσά σοι, καὶ σφέδρα τῶν εὐθλασσῶν γεγένημαι εὖ οἶδα. καὶ ἐκκλωμένης κώπης ναυτίας ἐγὼ θεραπεύσω. θάλψω σου τὸ ἀσθενοῦν τῶν πελαγισμῶν. ἄξω δέ σε ἄτερ μύθων Ἀριάδνης εἰς Αἴγυπτον, οὐ Διόνυσον ἀλλὰ Διονύσου θεράποντα καὶ προφήτην. οὐδὲ ἐν Νάξῳ καὶ ἐρημίαις ναυτικαῖς ἀπο-

artem apud eos magni æſtimantur; rogo te mi Menander, ne me prætendas: neque *committas ut* Athenienſes me ob hæc oderint, qui jam tum modios numerant quos Rex ipſis mittet propter te; ſed abi cum diis omnibus, bonâ Fortunâ, ventis commodis, & Jove ſecundo. nam ego te non relinquam, ne id putes me dicere: neque poſſum etiamſi velim; verùm relictâ matre & ſororibus ejus, ero tibi ſocia navigationis. atque admodum apta ſum mari, ſat ſcio, & ex tractu remi nauſeam tibi, *ut fit*, ortam ego curabo infirmitatem in jactatione maris. Ducam autem ſine filo Ariadnæ in Aegyptum te, non Bacchum, ſed Bacchi miniſtrum & ſacerdotem: neque in Naxo & ſolitudine nautica relinquar, tuam perfidiam lugens & deteſtans. Valeant Theſei illi, & ingratum animum indicantia antiquiorum deli-

λειφθήσομαι, τὰς σὰς ἀπιστίας κλαύσυσα καὶ ποτ' νιωμένη. χαιρέτωσαν δι Θησεῖς ἐκεῖνοι καὶ τὰ ἄμισθα τῶν πρεσβυτέρων ἀμπλακήματα· ἡμῖν δὲ βέβαια πάντα καὶ τὸ ἄσυ, καὶ ὁ Πειραιεὺς, καὶ ἡ Αἴγυπτος. οὐδὲν χωρίον ἡμῶν τοὺς ἔρωτας οὐχὶ δέξεται πλήρεις κἂν πέτραν οἰκῶμεν, εὖ οἶδα ἀφροδίσιον αὐτὴν τὸ ἔυνουν ποιήσει. πέπεισμαι μήτε χρημάτων σε μήτε περιουσίας μήτε πλούτου τὸ καθάπαξ ἐπιθυμεῖν, ἐν ἐμοὶ καὶ τοῖς δράμασι τὴν ἐυδαιμονίαν κατατιθέμενον· ἀλλ' οἱ συγγενεῖς, ἀλλ' ἡ πατρὶς, ἀλλ' οἱ φίλοι, σχεδὸν οἶσθα πάντη πάντες πολλῶν δέονται, πλουτεῖν θέλουσι καὶ χρηματίζεσθαι. σὺ μὲν οὐδέποτε περὶ οὐδενὸς αἰτιάτῃ με οὔτε μικροῦ οὔτε μεγάλου, τοῦτο εὖ οἶδα, πάλαι μὲν ἠττημένος ἐμοῦ πᾶσι καὶ ἔρωτι· νῦν δὲ ἤδη καὶ κρίσιν προστεθεικὼς αὐτοῖς. οἷς μᾶλλον περιέχομαι

cta. Nobis firma & certa omnia, & Urbs, & Pirræeus & Aegyptus. Nullus locus noſtros amores non excipiet integros. etſi petram incolamus, ſat ſcio, Veneream ipſam amor faciet. Sic mihi perſuadeo, te nec pecunias, nec opes, nec divitias ullas omnino expetere, ut qui in me & comœdiis felicitatem ponas; ſed verò cognati, ſed patria, ſed amici propemodum, ut ſcis, undique omnes multis opus habent: diteſcere volunt & pecunias colligere. Tu quidem nunquam de ulla re accuſabis me, nec magnâ nec parvâ, id probè ſcio: ut qui & olim te mihi dediſti victus, & affectu & amore: atque nunc judicium quoque ei rei adjeciſti. quibus magis teneor, mi Menander, haud metuens amoris in affectu tantùm conſiſtentis brevem durationem. eſt enim amicitia ſolo affectu conſiſtens, ut violenta, ita & facile diſſo-

Μένανδρε φοβουμένη τῆς ἐμπαθοῦς φιλίας τὸ ὀλιγοχρόνιον· ἔστι γὰρ ὡς βίαιος ἡ ἐμπαθὴς φιλία, οὕτω καὶ εὐδιάλυτος· εἷς δὲ παραβέβληνται καὶ βουλαὶ, ἀβράγεσερον ἐν τούτοις ἤδη τὸ ἔργον οὔτε ἁμιγὲς ἡδοναῖς τε καὶ διὰ τὸ πλῆθος, οὔτε περιδεές. λύσεις δὲ τὴν γνώμην ὥς με πολλάκις περὶ τούτων αὐτὸς νουθετῶν διδάσκεις. ἀλλ' εἰ καὶ σὺ μήτε μέμψῃ μὴ δὲ αἰτιάσῃ, δέδοικα τοὺς Ἀττικοὺς σφῆκας οἵτινες ἄρξουσι πάντη με περιβομβεῖν ἐξιοῦσαν ὡς αὐτὸν ἀφῃρημένης τῆς Ἀθηναίων πόλεως τὸν πλοῦτον. ὥσε δέομαί σου Μένανδρε ἐπίσχες, μηδέπω τῷ βασιλεῖ μηδὲν ἀντεπιστείλῃς. ἔτι βούλευσαι. περίμεινον ἕως κοινῇ γενώμεθα καὶ μετὰ τῶν φίλων καὶ Θεοφράστου καὶ Ἐπικούρου. τάχα γὰρ ἀλλοιότερα κἀκείνοις καὶ σοὶ φανεῖται ταῦτα. μᾶλλον δὲ καὶ θυσώμεθα καὶ ἴδωμεν τί λέγει τὰ

lubilis; quibus autem adjecta ſunt & conſilia, in his jam minùs diſſolubile negotium eſt: neque expers voluptatum, propter mores quoque, nec plenum timoris. decides autem ſententiam quemadmodum ſæpius me de iſtis ipſe admonens doces. Verum enim vero etiamſi tu me neque culpes nec accuſes ulla in re, metuo Atticos illos crabrones, qui incipient undique me circumſtrepere proficiſcentem, quaſi ipſo privetur Athenienſium Civitas Deo divitiarum. Proinde rogo te, mi Menander, reprime te, nec adhuc Regi quidquam reſcribas: ampliùs delibera: expecta donec unà fuerimus cum amicis, & Theophraſto & Epicuro. fortè enim alio modo & illis & tibi videbuntur hæc ſe habere. Quin potius & ſacrificemus, & videamus quid exta portendant, an melius ſit in Aegyptum nos abire, an manére & oraculum

ἱερὰ, εἴτε λῷον εἰς Αἴγυπτον ἡμᾶς ἀπιέναι, εἴτε μένειν. καὶ χρησηριασθῶμεν εἰς Δελφοὺς πέμψαντες· πάτριος ἡμῶν ἐσιν ὁ θεός. ἀπολογίαν ἔξομεν καὶ πορευόμενοι καὶ μένοντες πρὸς ἀμφότερα τοὺς θεούς. μᾶλλον δὲ ἐγὼ τοῦτο ποιήσω. καὶ γὰρ ἔχω τινὰ νεωστὶ γυναῖκα ἀπὸ Φρυγίας ἥκουσαν εὖ μάλα τούτων ἔμπειρον· γαστρομαντεύεσθαι δεινὴν τῇ τῶν σπαρτῶν διατάσει νύκτωρ καὶ τῇ τῶν θεῶν δείξει, καὶ οὐ δεῖ λεγούσῃ πιστεύειν, ἀλλ' ἰδεῖν ὥς φασι. διαπέμψομαι πρὸς αὐτήν. καὶ γὰρ ὡς ἔφη καὶ κάθαρσίν τινα δεῖ προτελέσαι τὴν γυναῖκα καὶ παρασκευάσαι τινὰ ζῶα ἱερεῦσαι· καὶ λιβανωτὸν ἄρρενα καὶ σύρακα μακρὸν καὶ πέμματα σελήνης, καὶ ἄγρια φύλλα τῶν ἀνθρώπων. οἶμαι δὲ καὶ σὲ φθήσεται Πειραιόθεν ἐλθεῖν. ἢ δήλωσόν μοι σαφῶς μέχρι τίνος οὐ δύνασαι Γλυκέραν ἰδεῖν. ἵν' ἐγὼ μὲν

consulamus Delphos missis aliquibus, Patrius enim noster est Deus ille. Defensionem paratam habebimus in utrumque, sive proficiscamur sive maneamus, ipsos deos. Potius autem ego id faciam. Etenim habeo quandam mulierem nuper e Phrygia huc advectam admodum harum rerum peritam: quæ hariolari bene scit, spartorum extensione noctu, & deorum ostensione: atque non credere dicenti oportet, sed videre, ut ajunt. Mittam ad eam. Etenim, ut ajebat, & purgationem quandam oportet prius peragere mulierem, & parare quædam animalia ad sacrificandum, & thus masculum, & styracem oblongum, & placentas Lunæ, & sylvestrium folia andrachnarum. Arbitror autem eam etiam antè venturam quàm tu è Piræeo; aut fac me certiorem quousque non possis Glyceram videre: ut ego quidem excurram

καταδράμω πρὸς σέ. τὴν δὲ Φρυγίαν ταύτην ἑτοιμάσωμαι ἤδη καὶ ἃ μελετᾷν πειράζεις· ἀπὸ σαυτοῦ μὰ τὸν Πειραιᾶ καὶ τὸ ἀγρίδιον καὶ τὴν Μουνυχίαν, καὶ κατ' ὀλίγον ὅπως ἐκπέσωσι τῆς ψυχῆς. οὐ δύναμαι πάντα ποιεῖν μὰ τοὺς θεούς. σὺ δὲ οὐ δύνασαι διαπεπλεγμένος ὅλως ἤδη μοι. κἂν εἱ βασιλεῖς ἐπιστείλωσι πάντες, ἐγὼ πάντων εἰμὶ παρὰ σοὶ βασιλικώτερα καὶ εὐσεβεῖ σοι κέχρημαι ἐρασῇ καὶ ὅρκων ἱερομνήμονι. ὥστε πειρῶ μᾶλλον ἐμὴ Φιλότης θᾶσσον εἰς ἄστυ παραγενέσθαι, ὅπως ἔι γε μεταβουλεύσαιο τῆς πρὸς βασιλέα ἀφίξεως, ἔχῃς ἐυτρεπισμένα τὰ δράματα ἐξ αὐτῶν ἃ μάλιστα δυνῆσαι δύνατα Πτολεμαῖον καὶ τὸν αὐτοῦ Διόνυσον, οὐ δημοκρατικὸν ὡς οἶσθα· ἔιτε Θαΐδας, ἔιτε Μισούμενον, ἔιτε Θρασυλέοντα, ἔιτε Ἐπιτρέποντας, ἔιτε Ῥαπιζομένην, ἔιτε Σικύων *** ἀλλ' ὅτι καὶ ἐγὼ

ad te, Phrygiam autem iſtam paratam habeam. Jam etiam meditari conor ut abigam *ex memoria* Piræeum & agellum & Munychiam, atque paullatim ut excidant ex animo. Non poſſum omnia relinquere, deos teſtor; tu autem me non potes, implicatus prorſus jam mihi. etiamſi reges ad te ſcribant omnes, ego apud te regalior ſum: atque pium te habeo amatorem, & jurisjurandi religioſum obſervatorem. Quo magis da operam ut ocyus in urbem venias, ut, ſi conſilium mutaveris de profectione ad regem, habeas paratas comœdias, & ex his eas, quæ maxime juvare poſſunt Ptolemæum & ejus Bacchum non popularem ut noſti: ſive Thaidas, ſive Odioſum, ſive Thraſyleontem, ſive Epitrepontas, ſive Sicyonium. *** Sed quid & ego temeraria & audax ſum in judicio de Menandri comœdiis ferendo. at ſolertem ha-

θρασεῖα καὶ τολμηρά τις εἰμὶ τὰ Μενάνδρου διακρίνειν ἰδ.ῶτις οὖσα. ἀλλὰ σοφὸν ἔχω σου τὸν ἔρωτα καὶ ταῦτ' εἰδέναι δύνασθαι. σὺ γάρ μ' ἐδίδαξας εὐφυᾶ γυναῖκα ταχέως παρ' ἐρώντων μανθάνειν, ἀλλ' οἰκονομοῦσιν ἔρωτες σπεύδοντες. αἰδούμεθα τὴν Ἄρτεμιν ἀνάξιοι ὑμῶν εἶναι μὴ θᾶττον μανθάνουσαι. πάντως δέομαι Μένανδρε κἀκεῖνο παρασκευάσασθαι τὸ δρᾶμα, ἐν ᾧ μὲ γέγραφας. ἵνα κἂν μὴ παραγένωμαι σὺν σοὶ, δι' ἄλλου πλεύσω πρὸς Πτολεμαῖον, κἂν μᾶλλον αἴσθηται ὁ βασιλεὺς ὅσον ἰσχύει καὶ παρὰ σοὶ γεγραμμένους φέρειν ἑαυτοῦ τοὺς ἔρωτας, ἀφεὶς ἐν ἄσει τοὺς ἀληθινούς. ἀλλ' οὐδὲ τούτους ἀφήσεις εὖ ἴσθι. κυβερνᾶν ἢ πρωρατεύειν ἕως δεῦρο παραγίνῃ πρὸς ἡμᾶς Πειραιόθεν μυηθήσομαι. ἵνα σε ταῖς ἐμαῖς χερσὶν ἀκύμονα ναυσολήσω, πλέουσα εἰ τοῦτο ἄμεινον εἶναι φαίνοιτο. φανείη δὲ ὦ θεοὶ πάντες ὃ κοινῇ λυσιτελὲς ᾖ, καὶ

beo tuum amorem ut hæc etiam ſcire poſſim. Tu enim me docuiſti, bonæ indolis mulierem cito ab amatoribus diſcere. ſed adminiſtrant rem Amores cum feſtinatione. veremur Dianam ſi vobis indignæ ſimus tardius diſcentes. Etiam atque etiam oro, mi Menander, ut & illam Comœdiam paratam habeas in qua me introduxiſti. ut, etiamſi non adſim tecum, per illam navigem ad Ptolemæum. ſic magis ſenſerit Rex quantum valeat & apud te, ſi ſcriptos feras tuos amores, relictis in urbe veris. Sed nec iſtos relinques ut bene ſcias. gubernaculo præeſſe aut proræ, donec huc advenias ad nos ex Piræeo, diſcam. ut te meis manibus incolumem navi ducam, navigans ſi iſtud conſultius eſſe videbitur. Videatur autem, ô dii omnes, quod communiter utile ſit: & vaticinetur Phry-

μαντεύσαιτο ἡ Φρυγία τὰ συμφέροντα κρεῖσσον τῆς Θεοφορήτου σου κόρης. Ἔρρωσο.

gia, ea quæ conducunt: meliùs quàm Numine afflata tua puella. Vale.

LIBER III.

ΓΛΑΥΚΙΠΠΗ ΧΑΡΩΠΗΙ.

Οὐκέτ' εἰμὶ ἐν ἐμαυτῇ, ὦ μῆτερ, οὐδ' ἀνέχομαι γήμασθαι ᾧ με κατ' ἐγγύησιν ἐπηγγείλατο ἔναγχος ὁ πατὴρ τῷ Μεθυμναίῳ μειρακίῳ τῷ παιδὶ τοῦ κυβερνήτου, ἐξ ὅτου τὸν ἀσκηὸν ἔφηβον ἐθεασάμην τὸν ὀσχοφόρον, ὅτε με ἄσυδε πρυτρεψας ἀφικέσθαι, ὠσχοφορίων ὄντων. καλὸς μὲν γάρ ἐστι, καλὸς, ὦ μῆτερ, καὶ ἥδιστος, καὶ βοστρύχους ἔχει βρύων οὐλοτέρους, καὶ μειδιᾷ τῆς θαλάσσης γαληνιώσης χαριέστερον, καὶ τὰς βολὰς τῶν ὀφθαλμῶν ἐστι κυανοχρὼς, οἷος τὸ πρῶτον ὑπὸ τῶν ἀκτίνων τῶν ἡλιακῶν ὁ πόντος καταλαμπόμε-

GLAUCIPPE CHAROPÆ. I.

NOn amplius fum apud me ô mater, nec fuſtineo nubere illi, cui me per deſponſationem nuper promiſit Pater, Methymnæo adoleſcenti, filio gubernatoris, ex quo illum urbicum Ephebum adſpexi, illum Oſchophorum, quando me in urbem juſſiſti abire, cùm eſſent Oſchophoria. Pulcher enim eſt, pulcher, ô mater, & ſuaviſſimus, & cincinnos habet muſcô criſpiores, & ridet mari tranquillô jucundius, & acie oculorum cæruleâ coruſcat, quale recens à radiis ſolaribus mare illuſtratum

νος φάινεται. τὸ δὲ ὅλον πρόσωπον ἀυταῖς ἐνορχεῖσθαι ταῖς παρειαῖς ἔιποις ἂν τὰς Χάριτας τὸν Ὀρχομενὸν ἀπολιπούσας καὶ τῆς ἀργαφίας κρήνης ἀπονιψαμένας. τὼ χείλη δὲ, τὰ ῥόδα τῆς Ἀφροδίτης ἀποσυλήσας τῶν κόλπων, διήνθισαι, ἐπὶ τῶν ἄκρων ἐπιθέμενος. ἢ τούτῳ μιγήσομαι, ἢ τὴν Λεσβίαν μιμησαμένη Σαπφὼ, οὐκ ἀπὸ τῆς Λευκάδος πέτρας, ἀλλ' ἀπὸ τῶν Πειραϊκῶν προβόλων ἐμαυτὴν εἰς τὸ κλυδώνιον ὤσω.

ΧΑΡΩ'ΠΗ ΓΛΑΥΚΙ'ΠΠΗι.

ΜΕ'μηνας, ὦ θυγάτριον, καὶ ἀληθῶς ἐξέστης. ἐλλεβόρου δεῖ σοι, καὶ οὐ τοῦ κοινοῦ, τοῦ δὲ ἀπὸ τῆς Φωκίδος Ἀντικύρας. ἥτις δὲ αἰσχύνεσθαι κορικῶς ἀπέξεσας τὴν αἰδὼ τοῦ προσώπου. ἔχε ἀτρέμα, καὶ κατὰ σεαυτὴν ῥίπιζε τὸ κακὸν ἐξωθοῦσα τῆς διανοίας. εἰ γάρ τι τούτων ὁ σὸς πατὴρ πύ-

apparet. Totus autem ejus vultus *talis*, *ut* tripudiare in genis *ejus* diceres Gratias Orchomenô relictô, & Gargaphiâ fonte ablutas. Labia verò rosis ex Veneris sinu detractis pictus est, in eorum summitate impositis. Aut isti conjungar, aut Lesbiam imitata Sapphonem, non à Leucade petra, sed a Piraicis scopulis meipsam in undas conjiciam.

CHAROPE CLAUCIPPÆ. II.

INsanis, ô filia, & verè extra te es. Elleborô tibi opus est, & non illô vulgari sed ex Phocidis Anticyra. quæ pudorem puellarem absterfisti à facie. Quiesce, & ad te redi, malumque illud expelle animô. Si enim quid-

θειτο, οὐδὲν διασκεψάμενος, οὐδὲ μελλήσας, τοῖς ἐναλίοις βορὰν παραβρίψει σε θηρίοις.

ΕΥΑΓΡΟΣ ΦΙΛΟΘΗΡΩι.

Ἐγοφίκ μὲν ἦν καὶ πλῆθος ἰχθύων· ἐγὼ δὲ τὴν σαγήνην ἁπλώσας ἠπόρουν ὅ, τι πράξαιμι. ἔδοξεν οὖν Σισύφειον ὅ, τι μοι βουλευσαμένῳ βούλευμα ἐλθεῖν παρὰ τὸν δανειστὴν Χρέμητα, καὶ ὑποθήκην αὐτῷ καθομολογήσαντι τὸ σκάφος, λαβεῖν χρυσίνους τέσσαρας, ἐξ ὧν αὖθις καινουργήσαί μοι τὴν σαγήνην ὑπάρξειε. καὶ δῆτα τοῦτο λόγου θᾶττον ἐγένετο. καὶ ὁ Χρέμης ὁ κατεσκληκὼς, ὁ κατεσπακὼς τὰς ὀφρῦς, ὁ ταυρηδὸν πάντας ὑποβλέπων, ἴσως ἔρωτι τῆς ἀκάτου, χαλάσας τὸ βαρὺ καὶ ἀμειδὲς, ἀνεὶς τὰς ὄψεις, ὑπεμειδίᾳ πρός

quam iſtorum tuus pater reſciverit, ſine deliberatione & cunctatione marinis eſcam projiciet te belluis.

EVAGRVS PHILOTHERO. III.

OPſoniorum copia erat & abundantia piſcium. ego autem, qui verriculum explicaveram, neſciebam quid facerem. Viſum eſt igitur mihi Siſypheum quoddam comminiſcenti conſilium ire ad fœneratorem Chremetem, & in pignus ei promiſsâ ſcaphâ, ſumere aureos quatuor, unde rurſus renovare mihi verriculum liceret. & ſanè id dicto citius factum eſt. atque Chremes ille emaciatus, ille depreſſis ſuperciliis, ille torvè omnes intuens: forraſſis amore cymbæ, laxatâ ſeveritate & triſtitiâ, remiſsô vultu, ſubarridebat mihi, & paratum ſe

με, καὶ οἷος εἶναι ὑπουργεῖν πάντα ἔφασκεν. ἐνίοτε μὲν οὖν ἔκδηλος ἦν, οὕτως ἁθρόως τὸ σκυθρωπὸν λύσας, οὐκ ἀγαθόν τι διανούμενος, ἀλλ' ὕπουλον ἔχων τὸ φιλάνθρωπον· ὡς δὲ ἐνέσταντος τοῦ καιροῦ πρὸς τῷ ἀρχαίῳ καὶ τὸν τόκον ἀπῄτει, οὐδὲ εἰς ὥραν ἐνδιδοὺς, ἐπέγνων τοῦτον ἐκεῖνον, ὃν ἡπιξάμην πρὸς τῇ Διομήτιδι πύλῃ καθήμενον, τὸν τὴν καμπύλην ἔχοντα, τὸν ἐχθρὰ πᾶσι φρονοῦντα Χρέμητα τὸν Φλυέα. καὶ γὰρ ἕτοιμος ἦν ἐπιλήψεσθαι τοῦ σκάφους. ἰδὼν οὖν εἰς ὅσον ἀμηχανίας ἐληλάκειν, οἴκαδε ἀποτρέχω, καὶ τὸ χρυσοῦν ἀλύσιον, ὅπερ ποτὲ εὐπορῶν τῇ γαμετῇ κόσμον εἶναι περιαυχένιον ἐπεποιήκειν, ἀποσπάσας τοῦ τραχήλου, ὡς Πασέωνα τὸν τραπεζίτην ἐλθὼν, ἀπημπόλησα, καὶ συναγαγὼν τὰ νομίσματα σὺν αὐτοῖς τόκοις φέρων ἀπέδωκα, καὶ ὤμοσα κατ' ἐμαυτοῦ μήποτε ὑπο-

esse omnia præstare ajebat. Statim equidem se prodebat, cùm sic effusè solvisset austeritatem, tanquam nihil boni cogitans, sed subdolam præ se ferens humanitatem. ut vero instante tempore cum sorte & usuram repetiit, neque in horam concedens, cognovi eundem illum, quem sciebam in Diometide porta sedere, illum cum retorto baculo, illum erga omnes hostiliter animatum Chremetem Phlyiensem; etenim paratus erat invadere scapham. Cùm igitur viderem in quantam perplexitatem devenissem, domum redeo, & auream catenulam, quam olim opulentus, uxori, ut ei ornatus esset collaris, faciendam curaveram, detractam a cervice, ad Paseonem trapezitam ingressus, vendidi: & postquam nummos coëgi, cum ipsa usura detuli ac reddidi: juravique per meipsum, nunquam in animum inducere ut ad ul-

μεῖναι παρά τινα τῶν ἐν πόλει δανειστῶν ἐλθεῖν, μὴ δ' ἂν Φθίνοιμι λιμῷ κατασκλῆναι. ἄμεινον γὰρ εὐπρεπῶς ἀποθανεῖν ἢ ζῆν ὑποκείμενον δημοτικῷ καὶ Φιλοκερδεῖ πρεσβύτῃ.

ΤΡΕΧΕ'ΔΕΙΠΝΟΣ ΛΟΠΑΔΕΧΘΑ'ΜΒΩι.

Ὄγνώμων οὔπω σκιάζει τὴν ἕκτην· ἐγὼ δὲ ἀποσκλῆναι κινδυνεύω, τῷ λιμῷ κεντούμενος. εἶεν, ὥρα σοι βουλεύματος Λοπαδέχθαμβε, μᾶλλον δὲ μοχλοῦ καὶ καλωδίου ἀπάγξασθαι. εἰ γὰρ καὶ ὅλην καταβαλοῦμεν τὴν κίονα τὴν τὸ πικρὸν τοῦτο ὡρολόγιον ἀνέχουσαν, ἢ τὸν γνώμονα τρέψομεν ἐκεῖσε νεύειν οὗ τάχιον δυνήσεται τὰς ὥρας ἀποσημαίνειν, ἔσαι τὸ βούλευμα Παλαμήδειον. ὡς νῦν ἐγώ σοι αὖος ὑπὸ λιμοῦ καὶ ἀυχμηρός. Θεοχά-

ium in urbe fœneratorum eam, neque ſi prius fame contabeſcam. Præſtat enim honeſtè mori, quam vivere ſubjectum plebejo & lucri cupido ſeni.

TRECHEDIPNVS LOPADECHTHAMBO. IV.

INdex nondum obumbrat ſextam. ego autem contabeſcere debebo, fame fodicatus. Eja, tempus eget conſiliô, Lopadechthambe, immò vecte & reſte ad ſuſpendendum. Si enim totam etiam dejiciemus columnam quæ moleſtiſſimum illud horologium ſuſtinet, aut indicem convertemus illuc ubi citius poterit horas indicare, erit hoc conſilium Palamedeum. nam nunc ego tibi ſiccus præ fame & aridus ſum.

ρης δὲ οὐ πρότερον καταλαμβάνει τὴν σιβάδα, πρὶν αὐτῷ τὸν οἰκεῖον δραμόντα φράσαι τὴν ἕκτην ἐξάναι. δεῖ οὖν ἡμῖν τοιούτου σκέμματος ὃ καταφίσασθαι καὶ παραλογίσασθαι τὴν Θεοχάρους εὐταξίαν δυνήσεται. τραφεὶς γὰρ ὑπὸ παιδαγωγῷ βαρεῖ καὶ ὠφρωμένῳ οὐδὲν φρονεῖ νεώτερον, ἀλλ' ἤ τις Λάχης ἢ Ἀπολεξίας αὐστηρός ἐστι τοῖς τρόποις. καὶ οὐκ ἐπιτρέπει τῇ γαστρὶ πρὸ τῆς ὥρας ἢ ἐκείνης τοῦ πίμπλασθαι. Ἔρρωσο.

ΕΚΤΟΔΙΩΚΤΗΣ ΜΑΝΔΙΛΟΚΟΛΑΠΤΗΙ.

Χθὲς δείλης ὀψίας, Γοργίας ὁ Ἐτεοβουτάδης συμβαλών μοι κατὰ τύχην, χρηστῶς ἠσπάσατο, καὶ κατεμέμφετο, ὅτι μὴ θαμίζοιμι παρ'

Theochares autem non prius occupat torum, niſi ei ſervus accurrens indicet ſextam eſſe. Opus eſt igitur nobis ejusmodi commento quod decipere & fruſtrari Theocharis diſciplinam poterit. Educatus enim ſub pædagogo moroſo & ſuperciliоſo, nihil ſapit juvenile, ſed tanquam aliquis Laches aut Apolexias auſterus eſt moribus, & non indulget ventri, ante horam illam, ut impleatur. Vale.

HECTODIOCTES MANDILOCOLAPTÆ. V.

Heri, tempore veſpertino, cùm Gorgias Eteobutades incidiſſet in me caſu, comiter ſalutavit: & conquerebatur quod non ſæpius invi-

αὐτῶν. καὶ μικρὰ προσπαίξας, ἴθι πρὸς Διὸς εἶπεν ὦ βέλτιστε, καὶ μετὰ βραχὺ λουσάμενος ἥκε, Ἀηδόνιον ἡμῖν τὴν ἑταίραν ἄγων. ἔστι δέ μοι συνήθης ἐπιεικῶς, καὶ μένει πάντως, ὡς οὐκ ἀγνοεῖς, μικρὸν ἄποθεν τοῦ νεωκορίου. δεῖπνον ἡμῖν ἡυτρέπισαι γεννικὸν, ἰχθύες τεμμαχίται, καὶ σαμνία τοῦ Μενδησίου νέκταρος, ἔιποι τις ἄν, πεπληρωμένα. καὶ ὁ μὲν ταῦτα εἰπὼν ᾤχετο· ἐγὼ δὲ παρὰ τὴν Ἀηδόνιον δραμὼν, καὶ φράσας παρ' ὅτου καλοῖτο, ἐδέησα κινδύνῳ περιπεσεῖν. ἀγνώμονος γὰρ ὡς ἔοικε πειραθεῖσα τοῦ Γοργίου, καὶ μικροπρεποῦς πρὸς τὰς ἀντιδόσεις, τὴν ὀργὴν ἔναυλον ἐγκειμένην ἔχουσα, πλήρη τὴν κακάβην ἀναστάσασα τῶν χυτροπόδων, ἐδέησέ μου κατὰ τοῦ βρέχματος καταχέαι ζέοντος ὕδατος, εἰ μὴ φθάσας ἀπεπήδησα, παρὰ βραχὺ φυγὰν τὸν κίνδυνον. οὕτως ἡμεῖς ἐλπίσιν ἀπατη-

ſerem ad ipſum; paullumque mecum jocatus: Abi, per Jovem obſecro, inquit, vir optime; deinde mox lotus venito, Aëdonium nobis meretricem adducens: eſt autem ea mihi admodum familiariter conjuncta; & habitat ſanè, ut noſti, non longè à Leocorio. Cœna nobis parata eſt ingens, piſces grandes in fruſta conciſi, amphoræ, Mendeſio nectare, dicere poſſis, repletæ. Atque ille hæc locutus, abiit. ego verò poſtquam ad Aëdonium cucurriſſem & indicaſſem à quo vocetur, debui in periculum incidere. cum enim ingratum, ut videtur, experta fuiſſet Gorgiam, & parcum in remunerationibus, iram intus ſtabulantem ſervans; cacabum detractum à foculis, erat mihi in ſinciput effuſura, plenum ferventi aquâ, niſi prius reſiluiſſem, parvo diſcrimine elapſus ex periculo. Sic nos dum fallaci

λαῖς βουκολούμενοι πλείους τῶν ἡδονῶν τοὺς προπηλακισμοὺς ὑπομένομεν.

Α'ΡΤΕΠΙ'ΘΤΜΟΣ ΚΝΙΣΟΖΩ'ΜΩι.

Ἀγχόνης μοι δεῖ, καὶ ὄψει με (οὐ) μετὰ μικρὸν ἐν βρόχῳ τὸν τράχηλον ἔχοντα. οὔτε γὰρ τὰ ῥαπίσματα οἷός τε εἰμὶ φέρειν καὶ τὴν ἄλλην παροινίαν τῶν κάκιστα ἀπολουμένων ἐρανιστῶν, οὔτε τῆς μιαρᾶς καὶ ἀδδηφάγου γαστρὸς κρατεῖν· ἡ μὲν γὰρ αἰτεῖ, καὶ οὐ πρὸς κόρον μόνον ἀλλ' εἰς τρυφήν· τὸ πρόσωπον δὲ τὰς ἐπαλλήλους πληγὰς οὐκ ἀνέχεται, καὶ κινδυνεύω τοῖν ὀφθαλμοῖν τὸν ἕτερον συσαλῆναι, ὑπὸ τῶν ῥαπισμάτων ἐνοχλούμενος. ἰοὺ ἰοὺ τῶν κακῶν, οἷα ὑπομένειν ἡμᾶς ἀναγκάζει ἡ παμφάγος αὕτη καὶ παμβορωτάτη γαστήρ. ἔκρινα οὖν πολυτελοῦς τραπέζης ἀπο-

spe lactamur, plures voluptatibus ignominias toleramus.

ARTEPITHYMUS CNISOZOMO. VI.

REste mihi opus est, & videbis me mox in laqueo collum habentem. neque enim alapas possum tolerare, reliquamque petulantiam perditissimorum epulonum: nec sceleratum hunc & voracissimum ventrem domare. hic enim poscit, & non ad satietatem, sed ad luxum usque; facies autem *mea* crebras illas plagas non perfert: & in periculo sum ne alter oculorum concrescat mihi colaphis infestato. Heu, heu mala! qualia sustinere nos cogit edacissimus hic & omnivoracissimus venter! Itaque constitui, opiparam mensam adeptus, expue-

λαύτας ἀποπτύσαι τὸ ζῆν, ὀδυνηροῦ βίου κρείττω τὸν καθ' ἡδονὴν θάνατον ἡγησάμενος.

ΕΤΟΙΜΟΚΟΡΟΣ ΖΩΜΕΚΠΝΕΟΝΤΙ.

Ἰαταιαὶξ, τίς ἦν ἡ χθὲς ἡμέρα, ἢ τίς δαίμων, ἢ θεὸς ἀπὸ μηχανῆς ἐβοήσατό με ἀκαρῆ μέλλοντα παρὰ τοὺς πλείονας ἰέναι· εἰ μὴ γὰρ ἀναζεύξαντά με τοῦ συμποσίου κατά τινα ἀγαθὴν τύχην Ἀκεσίλαος ὁ ἰατρὸς ἡμιθνῆτα, μᾶλλον δὲ αὐτονεκρὸν θεασάμενος, ἕνα τῶν κάτω, μαθηταῖς ἐπιτάττων φοράδην ἀνελὼν, ἤγαγεν ὡς ἑαυτὸν οἴκαδε, καὶ ἀπερᾶν ἀπηνάγκασεν, ἔπειτα διατεμὼν φλέβα, ῥυῆναι τὸ πολὺ τοῦ αἵματος ἐποίησεν, οὐδὲν ἂν ἐκώλυσεν ἀνεπαισθήτῳ με τῷ θανάτῳ δια-

re vitam: ærumnosâ vitâ voluptuosam mortem potiorem ducens.

HETOEMOCORUS ZOMECPNEONTI. VII.

EHeu quæ fuit hesterna illa dies, vel quis Genius aut Deus ex improviso servavit me tunc momento ad plures abiturum. Nisi enim me à convivio digressum, bono quodam fato Acesilaus medicus semimortuum, immo nihil aliud nisi mortuum, unum inferorum, conspicatus, discipulis mandasset ut me tollerent, & sublimem duxisset ad se domum, atque vomere coegisset, deinde incisâ venâ fluxum sanguinis copiosum elicuisset; nihil obstetisset quo minus morte insensibili interemptus periissem. Hem

φθαρέντα ἀπολωλέναι. οἷα γὰρ οἷα (πάσχει τὰ δίκαια) λακκόπλουτοι εἰργάσαντό με, ἄλλος ἄλλοθεν περιττὰ πίνειν, καὶ πλέιονα ἢ κατὰ τὸ κῦτος τῆς γαστρὸς ἐσθίειν ἀναγκάζοντες. ὁ μὲν γὰρ ἀλλᾶντα ἐνέσαττεν, ὁ δὲ κόπαιον ἐυμέγεθες παράθει ταῖς γνάθοις, ὁ δὲ κρᾶμα, οὐκ οἶνον ἀλλὰ νάπυ καὶ γάρυν καὶ ὄξος ἐργασάμενος, καθάπερ εἰς πίθον ἐνέχει. ἅτινα, λέβητας πιθάκνας ἀμίδας, ἐμιμεκὼς, ἀπεπλήρωσα. ὥστε αὐτὸν τὸν Ἀκεσίλαον θαυμάζειν ποῦ καὶ τίνα τρόπον ἐχώρησε τοσοῦτον ὁ τῶν βρωμάτων Φορυτός. ἀλλ' ἐπειδὴ θεοὶ σωτῆρες καὶ ἀλεξίκακοι προὔπτου με κινδύνου Φανερῶς ἐξείλοντο, ἐπ' ἐργασίαν τρέψομαι, καὶ Πειραιεῖ βαδιοῦμαι τὰ ἐκ τῶν νεῶν Φορτία ἐπὶ τὰς ἀποθήκας μισθοῦ μετατιθείς. ἄμεινον γὰρ ἐπὶ θύμοις καὶ ἀλφίτοις διαβόσκειν τὴν γαστέρα, ὁμολογουμένην ἔχοντα τὴν τοῦ ζῆν ἀσφάλειαν, ἢ πεμμάτων ἀπο-

quibus modis isti prædivites me tractarunt! alius aliunde, *certatim* nimium bibere, & plus quàm pro capacitate ventris edere, cogentes. hic enim farcimen inferciebat, ille frustum *panis* grande intrudebat maxillis, alius mixturam, non ex vino, sed ex sinapi & liquamine piscium & aceto factam, tanquam in dolium infundebat. quæ ego evomens, lebetas, serias, matulas, implevi: ita ut ipse Acesilaus miraretur quomodo capere potuerim tantam ciborum colluviem. Sed quoniam Dii Servatores & Averruncatores præsentissimo me periculo manifestè eripuerunt, ad opus faciendum me convertam, & in Piræum vadam, ibique navium onera in apothecas pro mercede transponam. Præstat enim bulbis & polentâ pascere ventrem ita ut certam habeas vivendi securitatem, quàm

λαύ-

λαύοντα καὶ Φασιανῶν ὀρνίθων, τὸν ἄδηλον ὁσημέραι θάνατον ἀπεκδέχεσθαι.

ΟΙΝΟΠΗΚΤΗΣ ΚΟΤΤΑΟΒΡΟΧΘΙΣΩι.

Ἴθι λαβὼν τὴν σύριγγα καὶ τὰ κύμβαλα ἧκε περὶ πρώτην φυλακὴν τῆς νυκτὸς ἐπὶ τὸν χρυσοῦν τενωπὸν ἐπὶ τὴν ἄγνων, ἔνθα συμβαλεῖν ἡμῖν ἀλλήλοις ἐξέσται. καὶ τοεντεῦθεν ἀπὸ Σκίρου λαβοῦσι Κλυμένην τὴν ἑταῖραν ἄγειν παρὰ τὸν νεόπλουτον, τὸν Θηριππίδην τὸν Αἰξωνέα. διακαῶς δὲ αὐτῆς οὗτος ἐρᾷ, πολὺς ἐξ οὗ χρόνος, καὶ δαπανᾶται οὐκ ὀλίγα μάτην. ἠσθημένη γὰρ τὸν ἔρωτα ἐκκεκαυμένον τοῦ μειρακίου, θρύπτεται καὶ συνεχῶς ἀκκίζεται· καὶ πλείονα ἐπὶ πλείοσιν ἀποφερομένη, οὗ φησιν ἑαυτὴν ἐπιδώσειν, εἰ μὴ τὸ χωρίον πρὸς

cupediis fruendo & Phaſianis avibus, incertam quotidie mortem expectare.

OENOPECTES COTYLOBROCHTHISO. VIII.

ICape fiſtulam & cymbala, ac veni circa primam cuſtodiam noctu in aureum angiportum ad Agnon, ubi convenire poterimus: aè deinde à Sciro aſſumptam Clymenam meretricem deducere ad illum recens ditatum Theripidem Aexonenſem. ardenter enim eam iſte amat multo jam tempore, & ſumptus haud exiguos facit fruſtra; illa enim ut ſenſit amorem inflammatum adoleſcentis, delicias facit & ſemper faſtidioſam ſe præbet: cumque plura identidem ab eo auferat, negat ſe copiam ſui

τοῖς ἀργυρίοις λάβοι. ὥρα οὖν, καὶ βίᾳ ταύτην, εἰ συνήθως ἀντιτείνοιτο ἡμῖν, ἀποσπᾶν. δύω δὲ ὄντε καὶ ἐῤῥωμένω, τάχιστα αὐτὴν ἀπάξαιμεν. Θηριππίδης δὲ εἰ τοῦτο ἄισθοιτο, καὶ τοὔργον ἐπιγνοίη τῆς ἡμετέρας ἀγρυπνίας κατόρθωμα, λήψόμεθα χρυσοῦς τοῦ νέου σκέμματος οὐκ ὀλίγους, καὶ λαμπρὰν ἐσθῆτα, καὶ προσέτι τὴν οἰκίαν εἰσιέναι ἐπ' ἀδείας ἕξομεν, καὶ τὸ χρῆσθαι τολοιπὸν ἀνεπικωλύτως. τάχα δὲ οὐδὲ παρασίτους ἡμᾶς, ἀλλὰ φίλους ἡγήσεται. οἱ γὰρ παράκλησιν εἰς ἐυποιίαν μὴ ἀναμείναντες, οὐκέτι κόλακες, ἀλλὰ φίλοι λογίζονται.

facturam, nisi prædium illud præter pecuniam accipiat. Tempus est igitur ut vel vi eam, si more consueto obnitatur nobis, abstrahamus; duo enim cum simus & robusti, cito eam vel invitam abducemus. Therippides verò si istud sentiat, atque hoc negotium cognoscat nostrarum vigiliarum facinus esse; accipiemus aureos ob hoc novum commentum non paucos, & luculentam vestem, & præterea domum ejus ingredi tutò poterimus, & utilitatem capere sine impedimento: fortè nec pro parasitis nos, sed pro amicis habebit. Qui enim adhortationem ad benefaciendum non expectant, haud amplius assentatores, verùm amici putantur.

* * * * * *

Ἀπειρώμενος τῶν σκυλακίων εἰ λοιπὸν ἐπιτήδεια κατὰ δρόμον, λαγωὸν ἔν τινι θάμνῳ διαστρωθήτα; ἐξαίφνης ἀνέστησα. τὰ δὲ σκυλάκια ὁι μὲν υἱεῖς τῶν ἱμαντίων ἀπέλυσαν. καὶ τὰ μὲν ἐθορύβει, καὶ ἐγγὺς ἦν ἑλεῖν τὸ θηρίον· ὁ λαγωὸς δὲ τοῦ κινδύνου φυγῇ ὑπερβὰς τὸ σιμὸν, φωλεοῦ τινὸς κατάδυσιν ἔυρετο. μία δὲ ἡ προθυμοτέρα τῶν κυνῶν, ἤδη κεχηνυῖα καὶ ψαῦσαι προσδοκῶσα τῷ δάγματι, συγκατῆλθεν εἰς τὴν ὀπὴν τῆς γῆς. ἐντεῦθεν ἀνελκύσαι βιαζομένη τὸ λαγώδιον καὶ θραύει τοῖν προσθίοιν ποδοῖν τὸν ἕτερον. καὶ ἀνειλόμην χωλεύουσαν σκύλακα ἀγαθὴν, καὶ τὸ ζῶον ἡμίβρωτον. καὶ γέγονέ μοι κέρδους ἐφιεμένῳ λυπροῦ, ζημίαν μεγάλην ἀπενέγκασθαι.

* * * * * * IX.

CÙm catulos tentarem, an jam idonei eſſent ad curſum, leporem in quodam fruticeto terrefactum, ſubito excitavi. catulos autem filii *mei* à loris ſolverunt: atque illi turbabant, & parum aberant à capienda fera. Lepus autem periculi fugâ ſuperato loco acclivi, latebræ cujusdam receſſum reperit. Unus autem alacrior ex canibus, jam inhians & aſſecuturum ſe ſperans morſu, unà deſcendit in foramen terræ. Unde cùm extrahere conaretur lepuſculum, fregit pedem anteriorem alterum. Atque ego ſuſtuli claudicantem catulum egregium, & beſtiam ſemeſam. contigitque mihi, emolumentum expetenti, ut detrimentum acceperim.

ΙΟΦΩΝ Ε'ΡΑΣΤΩΝΙ.

Ἐπιτριβείη καὶ κακὸς κακῶς ἀπόλοιτο ὁ κάκιστος ἀλεκτρυὼν καὶ μιαράτατος, ὅς με, ἡδὺν ὄνειρον θεώμενον, ἀναβοήσας, ἐξήγειρεν. ἐδόκουν γὰρ, ὦ φίλτατε γειτόνων, λαμπρός τις εἶναι καὶ βαθύπλουτος· εἶτα δικετῶν ἐφέπεσθαί μοι τίφος, οὓς οἰκονόμους καὶ διοικητὰς ἐνόμιζον ἔχειν. ἐῴκειν δὲ καὶ τὼ χεῖρε δακτυλίων πεπλῆρῶσθαι, καὶ πολυταλάντους λίθους περιφέρειν. καὶ ἦσαν οἱ δάκτυλοι μοῦ μαλακοὶ, καὶ ἥκιστα τῆς δικέλλης ἐμέμνηντο. ἐφαίνοντο δὲ καὶ οἱ κόλακες ἐγγύθεν, Γρυλλίωνα ἔιποις ἂν καὶ Παταικίωνα. ἐν τούτῳ δὴ καὶ ὁ δῆμος Ἀθηναίων εἰς τὸ θέατρον προελθόντες, ἐβόων προχειρίσασθάι με στρατηγόν. μεσούσης δὲ τῆς χειροτονίας, ὁ παμπόνηρος ἀλεκτρυὼν ἐβόησε, καὶ τὸ

IOPHON ERASTONI. X.

PEreat, & *ut* malus male intereat, peſſimus iſte gallus, atque ſceleratiſſimus, qui me dulce inſomnium videntem, vociferans, excitavit. Videbar enim mihi, chariſſime vicinorum, vir eſſe ſplendidus & opulentiſſimus: deinde ſervorum ſubſequi me catervam, quos diſpenſatores & procuratores me putabam habere. videbar autem *mihi* & manus annulis refertas habere, & gemmas multorum talentorum circumferre. & erant digiti mei molles, minimeque ligonis memores. Apparebant verò & Adulatores cominus, Gryllionem diceres & Patæcionem. Interea Populus Athenienſis in Theatrum egreſſi, clamabant, Ducem me deſignare. In mediis autem ſuffragiis improbiſſimus *iſte* gallus vociferatus eſt, & viſum illud diſparuit.

Φάσμα ἠφανίσθη. ὅμως ἀνεγρόμενος περιχαρ�ὴς ἦν ἐγώ. ἐνθύμιον δὲ ποιησάμενος, τοὺς φυλλοχόους ἐσάναι μῆνας, ἔγνων εἶναι τὰ ἐνύπνια ψευδέσατα.

ΔΡΥΑΝΤΙΔΑΣ ΧΡΟΝΙΩι.

Οὔτκέτι σοι μέλει οὔτε τῆς ἐυνῆς ἡμῶν, οὔτε τῶν κοινῶν παίδων, οὔτε μὴν τῆς κατ' ἀγρὸν διατριβῆς, ὅλη δὲ εἶ τοῦ ἄστεος· Πανὶ μὲν καὶ Νύμφαις ἀπεχθανομένη, ἃς Ἐπιμηλίδας ἐκάλεις, καὶ Δρυάδας, καὶ Ναΐδας· καινοὺς δὲ ἡμῖν ἐπειτάγουσα θεοὺς πρὸς πολλοῖς τοῖς πρϋπάρχουσι. ποῦ γὰρ ἐγὼ κατ' ἀγρὸν ἱδρύσω Κωλιάδας ἢ Γενετυλλίδας; οἶδα ἀκούσας ἄλλα τινὰ δαιμόνων ὀνόματα, ὧν διὰ τὸ πλῆθος ἀπολεῖσθαί μοι τῆς μνήμης τὰ πλείονα. οὐ σωφρονεῖς ὦ γύναι, οὐδὲ ὑγιές τι διανοῇ. ἀλλὰ

Tamen experrectus, lætitiâ plenus eram. Cùm autem in animum revocassem, menses adesse in quibus folia decidunt, comperi insomnia *tunc* esse falsissima.

DRYANTIDAS CHRONIO. XI.

NOn amplius te cura tangit tori nostri, neque communium liberorum, neque commorationis in agro; totam verò te urbi mancipasti, Pana quidem & Nymphas exosa, quas Epimelidas vocabas & Dryadas & Naidas: novos autem nobis superinducens deos præter multos illos priores: ubi enim ego ruri collocabo Coliadas & Genetyllidas? scio audivisse me alia quædam deorum nomina, quorum ob multitudinem deleta mihi sunt ex memoria

ἀμιλλᾷ ἐν ταῖς Ἀττικαῖς ταυταισὶ ταῖς ὑπὸ τρυφῆς διαῤῥεούσαις, ὧν καὶ τὸ πρόσωπον ἐπίπλασον, καὶ ὁ τρόπος μοχθηρίας ὑπεργέμων, φύκει γὰρ καὶ ψιμυθίῳ καὶ παιδέρωτι δευσοποιοῦσι τὰς παρειὰς ὑπὲρ τοὺς δεινοὺς τῶν ζωγράφων. σὺ δὲ ἦν ὑγιάινῃς, ὁποίαν σε τὸ ὕδωρ ἢ τὸ ῥύμμα τὸ πρὶν ἐκάθηρεν, τοιαύτη διαμενεῖς.

ΠΡΑΤΙΝΑΣ ΕΠΙΓΟΝΩι.

ΜΕσημβρίας οὔσης καθηρᾶς, φιλήνεμόν τινα ἐπιλεξάμενος πίτυν, καὶ πρὸς τὰς ἄυρας ἐκπεπταμένην, ὑπὸ ταύτῃ τὸ καῦμα ἐσκίαζον. καί μοι ψυχάζοντι μάλ' ἡδέως, ἐπῆλθέ τι μουσικῶς ἐπαφήσασθαι, καὶ λαβὼν τὴν σύριγγα ἐπέτρεχον τῇ γλώττῃ λεπτὸν τὸ πνεῦμα μετὰ τῶν χειλῶν ἐπισύρων, καί μοι ἡδύ τι καὶ νόμιον ἐξηκούετο μέλος.

pleraque. Non es mentis compos, Uxor, neque ſani quidquam cogitas; ſed contendis inter Atticas iſtas luxu diffluentes, quarum & facies ficta, & mores malitiâ ſcatentes: fucô & ceruſsâ & pæderote tingunt genas ſupra excellentes pictores. At tu, ſi ſapis, ſicut te aqua vel ſapo prius purgaverit, ita manebis.

PRATINAS EPIGONO. XII.

ΜEridie ferventiſſimò, cùm delegiſſem pinum quandam ventos amantem & flatibus expoſitam, ſub hac æſtum in umbra defendebam: cùmque refrigerarer admodum ſuaviter, venit mihi in mentem capeſſere Muſicam: ſumptamque fiſtulam percurrebam linguâ, tenuem ſpiritum cum labiis ſtrictim trahens; & ſuavis

ἐν τούτῳ δὲ οὐκ οἶδ' ὅπως ὑπὸ τῆς ἡδυφωνίας θελγόμεναι πᾶσαί μοι πανταχόθεν αἱ αἶγες περιεχύθησαν, καὶ ἀφεῖσαι νέμεσθαι τοὺς κομάρους καὶ τὸν ἀνθέρικον, ὅλαι τοῦ μέλους ἐγίνοντο. ἐγὼ δὲ ἐν μέσαις ταῖς ἡδοναῖς ἐμιμούμην τὸν παῖδα τῆς Καλλιόπης. ταῦτά σε οὖν εὐαγγελίζομαι, φίλον ἄνδρα συνειδέναι βουλόμενος, ὅτι μοι μουσικὸν ἔξιν ἔχειν τὸ ἀιπόλιον.

ΚΑΛΛΙΚΡΑ΄ΤΗΣ Α΄ΙΓΩΝΙ.

Ἐγὼ μὲν ἥκοντος τοῦ καιροῦ, γύρους περισκάψας καὶ ἐμβαθύνας βόθρον, οἷός τε ἦμην ἐλάδια ἐμφυτεύειν, καὶ ἐπάγειν αὐτοῖς ναμάτιον ὕδωρ, ὅ μοι ἐκ τῆς πλησίον Φάρυγγος ἐποχετεύεται· ἐπελθὼν δὲ ὄμβρος ἐς τρεῖς ἡμέρας καὶ νύ-

quædam ac paſtoralis audiebatur modulatio. Interea neſcio quomodo dulcedine cantûs delinitæ omnes mihi undique capellæ ſunt circumfuſæ; ac omittentes depaſcere arbutos & virgulta, totæ cantui intentæ erant. Ego autem in mediis gregibus imitabar Calliopæ Filium. Hôc igitur lætô nuntiô te impertio, hominem amicum conſcium eſſe cupiens, mihi datum eſſe ut habeam Muſicæ intelligentem gregem.

CALLICRATES AEGONI. XIII.

EGo quidem, adventante tempore cùm circulos fodiſſem, & in *iis* excavaſſem ſcrobes, paratus eram oleas inſerere, & inducere iis manantem aquam, quæ mihi ex propinqua valle derivatur: ſed ingruens imber trium dierum & totidem noctium, fluvios deſuper ex verti-

κτας ἴσας, ποταμοὺς ἄνωθεν ἐκ τῆς ἀκρωρείας τῶν ὀρῶν ἐγέννησεν, οἳ ῥῦμῃ κατασυρόμενοι ἰλὺν ἐπεσπάσαντο, καὶ τοὺς βόθρους κατέχωσαν, ὥστε εἶναι πάντα ἰσόπεδα, καὶ οὐδὲ δοκεῖν ὅλως εἰργασμένα. οὕτως ἠφάνισάι μοι τὰ πονήματα καὶ εἰς μίαν ὄψιν ἄτοπον κατέσῃ. τίς οὖν ἔτι πονοίη, μάτην ἀδήλους ἐλπίδας ἐκ γεωργίας καραδοκῶν; μετιτέον ἐφ' ἕτερον βίον. φασὶ γὰρ ἅμα ταῖς τῶν ἐπιτηδευμάτων ἀλλαγαῖς καὶ τὰς ψυχὰς μετασχηματίζεσθαι.

ΣΙΤΑΛΚΗΣ ΟΙΝΟΠΙΩΝΙ.

Εἰ πατρῴζεις, ὦ παῖ, καὶ τἀμὰ φρονεῖς, χαίρειν τοὺς ἀλαζόνας ἐκείνους τοὺς ἀνυποδήτους καὶ ἀχριῶντας, οἳ περὶ τὴν Ἀκαδημίαν ἀλινδοῦνται, καὶ βιωφελὲς μὲν οὐδὲν οὔτε εἰδότας, οὔτε

cibus montium generavit, qui impetuosè devoluti, limum secum traxerunt, & scrobes obruerunt, ut omnia sint una planities, nec omnino videantur culta, ita abolita sunt mihi opera, & in unam faciem mirificam redacta. Quis ergo amplius operam impendat fructra, incertas spes ex agricultura aucupans? Transeundum ad aliud vitæ genus; ajunt enim simul cum studiorum mutationibus & fortunæ faciem mutari.

SITALCES OENOPIONI. XIV.

SI patrissas, mi fili, & mecum sentis; valere vanis illis discalceatis & pallidis, circa Academiam se volutantibus atque, quod quidem utile sit vitæ, nihil, neque scientibus, neque

πράττειν δυναμένους, τὰ μετέωρα δὲ πολυπραγμονοῦντας, καὶ ἐπιτηδεύοντας, ἐάσας. ἔχου τῶν κατ' ἀγρὸν ἔργων, ἀφ' ὧν σοι διαπονοῦντι, μεσὴ μὲν ἡ σιπύη πανσπερμίας, οἱ δὲ ἀμφορεῖς οἴνου γέμοντες, πλεῖα δὲ ἀγαθῶν τὰ σύμπαντα.

ΚΟ'ΤΙΝΟΣ ΤΡΥΓΟΔΩ'ΡΩι.

Ὁ Τρυγητὸς ἐγγύς, καὶ ἀβρίχων ἔτι μοι χρεία. δάνεισον οὖν μοι τούτων τοὺς περιττοὺς, ὅτον οὐκ εἰς μακρὸν ἀποδώσοντι. ἔχω οὖν κἀγὼ πιθάκια πλείονα. εἰ οὖν δέοιο, προθύμως λάμβανε. τὰ γὰρ κοινὰ τῶν φίλων οὐχ ἥκιστα τοῖς ἀγροῖς ἐμφιλοχωρεῖν ἐθέλει.

agere valentibus: ſed cœleſtia ſcrutantibus & affectantibus; *his inquam valere* juſſis; capeſſe agriculturam, unde tibi opus facienti, plena erit arca omnigeno ſeminio, amphoræ vino plenæ, plena bonis omnia.

COTINUS TRYGODORO. XV.

VIndemia prope *adeſt*, & eſt mihi qualis opus. da mutuos igitur mihi ex his ſuperfluos, intra breve tempus reddituro. Habeo farè & ego doliola plura. ſi igitur indigeas, audacter ſume: Communitas enim inter amicos quàm maximè in agris locum habere vult.

ΦΥΛΛΙΣ ΘΡΑΣΩΝΙΔΗι.

Εἰ γεωργεῖν ἐβούλου, καὶ νοῦν ἔχειν, ὦ Θρασωνίδη, καὶ τῷ πατρὶ πείθεσθαι, ἔφερες ἂν καὶ τοῖς θεοῖς κιττὸν καὶ δάφνας καὶ μυρίνην καὶ ἄνθη ὅσα σύγκαιρα· καὶ ἡμῖν τοῖς γονεῦσιν πυροὺς ἐκθερίσας, καὶ οἶνον ἐκ βοτρύων ἀποθλίψας, καὶ βδάλας τὰ αἰγίδια, τὸν γαυλὸν πλήρη γάλακτος. νῦν δὲ ἀγρὸν καὶ γεωργίαν ἀπαναίνῃ· κράνους δὲ ἐπαινεῖς τριλοφίαν, καὶ ἀσπίδος ἐρᾷς, ὥσπερ Ἀκαρνὰν ἢ Μηλιέὺς μισθοφόρος. μή σύγε ὦ παιδίον, ἀλλ' ἐπάνιθι ὡς ἡμᾶς, καὶ τὸν ἐν ἡσυχίᾳ βίον ἀσπάζου: καὶ γὰρ ἀσφαλὴς καὶ ἀκίνδυνος ἡ γεωργία, οὐ λόχους, οὐκ ἐνέδρας, οὐ φάλαγγας ἔχουσα: ἡμῖν τε ὁ γηροκόμος ἐγγύς, ἀντὶ τῆς ἐν ἀμφιβόλῳ ζωῆς τὴν ὁμολογουμένην ἑλόμενος σωτηρίαν.

PHYLLIS THRASONIDI. XVI.

SI agrum colere velles & ſapere, ô Thraſonides, ac patri morem gerere; ferres, tum diis hederam & lauros, & myrtos, & flores tempori congruos: tum nobis Parentibus tuis triticum quod emeſſuiſſes, & vinum quod ex uvis expreſſiſſes, & quoties mulſiſſes capellas, mulctram plenam lacte; nunc autem rus & agriculturam aſpernaris: galeæ contrà laudas triplices criſtas, & clypeum amas, tanquam aliquis Acarnan aut Melienſis miles mercenarius. Ne faxis, mi fili, ſed redi ad nos, & tranquillam vitam amplectere, (etenim tuta & expers periculi eſt agricultura, non cohortes, non inſidias, non phalanges habens:) nobisque ſenectutis ſuſtentator in propinquo, pro dubia vita, certam eligens ſalutem.

ΧΑΙΡΕΣΤΡΑΤΟΣ ΛΗΡΙΩΙ.

Ἐπιτριβέις ὦ Λυρίων κακὴ κακῶς, ὅτι με τῇ μέθῃ καὶ τοῖς αὐλοῖς κατακηλήσασα, βραδὺν ἀπέφηνας τοῖς ἐκ τῶν ἀγρῶν ἀποπέμψασιν. οἱ μὲν γὰρ ἕωθεν προσεδόκων με φέροντα αὐτοῖς τὰ κεράμια (σκεύη,) ὧν ἕνεκεν ἀφικόμην· ἐγὼ δὲ ὁ χρυσοῦς πάννυχος καταυλούμενος εἰς ἡμέραν ἐκάθευδον. ἀλλ' ἄπιθι ὦ τάλαινα, καὶ τοὺς ἀθλίους τουτουσὶ θέλγε τοῖς γοητεύμασιν. ἐμοὶ δὲ ἦν ἔτι ἐνσχλάσης, κακόν τι παμμέγεθες προσλαβοῦσα ἀπελεύσῃ.

ΕΥΤΣΤΑΧΥΣ ΠΙΘΑΚΙΩΝΙ.

Τοῦτ' ἐμοῦ παιδὸς γενέσια ἑορτάζων, ἥκειν σε ἐπὶ τὴν παιδαισίαν, ὦ Πιθακίων, παρακαλῶ. ἥκειν δὲ οὐ μόνον, ἀλλ' ἐπαγόμενον τὴν γυ-

CHÆRESTRATUS LERIO. XVII.

PEreas, Lerium, mala malè, quòd me vinô & tibiis tuis delinitum, tardum reddidisti iis qui me rure huc miserant; isti enim manè me expectabant, ut eis ferrem amphoras, quarum caussâ veneram: ego autem, homo bellus, totâ nocte tibiis oblectatus, usque in lucem dormiebam. Sed abi infelix, atque urbicos istos demulce tuis præstigiis. mihi si molesta fueris, cum magno malo tuo discedes.

EUSTACHYS PITHACIONI. XVIII.

FIlii mei natalem celebrans, ut venias ad epulas, mi Pithacion, rogo; venias autem non solus, sed adducens tecum uxorem, & li-

γαῖκα, καὶ τὰ παιδία, καὶ τὸν συνέργατον· εἰ βούλοιο δὲ, καὶ τὴν κύνα, ἀγαθὴν οὖσαν φύλακα, καὶ τῷ βάρει τῆς ὑλακῆς ἀποσοβοῦσαν τοὺς ἐπιβουλεύοντας τοῖς ποιμνίοις. ἡ τοιαύτη δὲ οὐκ ἂν ἀτιμάζοι τὸ δαιτυμὼν εἶναι σὺν ἡμῖν. ἑορτάσομεν δὲ μάλ' ἡδέως, καὶ πιόμεθα εἰς μέθην, καὶ μετὰ τὸν κῶμον ᾀσόμεθα. καὶ ὅστις ἐπιτήδειος κορδακίζειν, εἰς μέσους παρελθὼν, τὸ κοινὸν ψυχαγωγήσει. μὴ μέλλε οὖν ὦ Φίλτατε. καλὸν γὰρ ἐν ταῖς κατ' εὐχὴν ἑορταῖς ἐξ ἐωθινοῦ συντάττειν τὰ συμπόσια.

ΠΙΘΑΚΙΩΝ Ε'ΥΣΤΑΧΥΙ Ι'

ΚΟΙνωνικὸς ὢν καὶ Φιλέταιρος ἄνωθεν σαυτοῦ, καὶ τῆς γυναικὸς καὶ τῶν παιδίων, ὦ Εὔσταχυ. ἐγὼ δὲ τὸν κλῶπα φωράσας, ἐφ' ᾧ πάλαι ἠσχαλ-

beros, & ſubulcum: quòd ſi voles, etiam canem, bonum cuſtodem, & granditate vocis abigentem inſidiantes gregibus: ille autem talis non dedignabitur conviva eſſe nobiſcum. Feſtum celebrabimus admodum ſuaviter, bibemusque ad ebrietatem, & poſt ſatietatem cantabimus: atque qui idoneus fuerit ad cordacem ducendum, in medios progreſſus, cœtum delectabit. Ne igitur cuncteris chariſſime; decet enim in votivis ſolennitatibus manè conſtituere convivia.

PITHACION EUSTACHYI. XIX.

QUandoquidem communem te præbes & ſodalium amantem, bene tibi ſit ex teipſo, & uxore, & ex liberis, mi Euſtachy. Ego verò poſtquam furem deprehendi ob quem dudum

λον, τὴν ἐχέπλην ὑφελομένῳ καὶ δύο δρεπάνας, ἔχω παρ' ἐμαυτῷ, τοὺς κωμήτας ἀναμένων ἐπικούρους. νῦν γὰρ οὐκ ἐδοκίμαζον, ἀσθενέστερος ὢν, μόνος τὰ χεῖρε ἐπιβάλλειν. ὁ μὲν γὰρ δριμὺ βλέπει, καὶ τοξοποιεῖ τὰς ὀφρῦς, καὶ σφριγῶντας ἔχει τοὺς ὤμους, καὶ ἀδρὰν τὴν ἐπιγουνίδα φαίνει. ἐγὼ δὲ ὑπὸ τῶν πόνων, καὶ τῆς δικέλλης κατέσκληκα· καὶ τύλους μὲν ἐν ταῖς χερσὶν ἔχω, λεπτότερον δέ μοι τὸ δέρμα λεβηρίδος. ἡ μὲν οὖν γυνὴ καὶ τὰ παιδία εἶτω βαδιοῦνται, καὶ τῆς εὐωχίας μεθέξουσιν· ὁ δὲ σύργαστρος μαλακῶς ἔχει τὰ νῦν. ἐγὼ δὲ καὶ ἡ κύων τὸν μιαρὸν οἴκοι φυλάξομεν.

stomachabar, quòd stivam mihi surripuisset & duas falces, habeo eum apud me, vicinos expectans auxiliatores. nunc enim consultum non putabam, cùm sim infirmior, ut solus manum ei admoverem. nam torvé intuetur adductis superciliis, & vegetos habet humeros, & crassum femur ostentat; ego autem à laboribus & bidente emaciatus sum & callos habeo in manibus, inanior autem mihi cutis est leberide. Equidem uxor & liberi ad te ibunt, & convivii participes erunt, sed subulcus ægrotat: ego autem & canis sceleratum illum asservabimus.

ΝΑΠΑΙΟΣ ΚΡΙΝΙΑΔΗ.

Ὀ ἴσθά με ἐπισάξαντα τὴν ὄνον πάλαθα. κἀταγαγόντα οὖν ἕως οὗ ταῦτα ἀπεδόμην τῶν τινὶ γνωρίμων, ἄγει μέ τις εἰς τὸ θέατρον, καὶ καθίσας ἐν καλῷ, διαφόροις ἐψυχαγώγει θεωρίαις. τὰς μὲν οὖν ἄλλας οὐ συνέχω τῇ μνήμῃ, εἰμὶ γὰρ τὰ τοιαῦτα καὶ εἰδέναι καὶ ἀπαγγέλλειν κακός· ἓν δὲ εἰδὼς, ἀχανὴς ἐγώ σοι καὶ μικροῦ δεῖν ἄναυδος. εἷς γὰρ εἰς μέσους παρελθὼν, καὶ στήσας τρίποδα, τρεῖς μικρὰς παρετίθει παροψίδας, εἶτα ὑπὸ ταύταις ἔσκεπε μικρά τινα καὶ λευκὰ καὶ στρογγύλα λιθίδια, οἷα ἡμεῖς ἐπὶ ταῖς ὄχθαις τῶν χειμάῤῥων ἀνευρίσκομεν· ταῦτα ποτὲ μὲν κατὰ μίαν ἔσκεπε παροψίδα, ποτὲ δὲ, οὐκ οἶδ' ὅπως ὑπὸ τῇ μιᾷ ἐδείκνυ, ποτὲ δὲ παντελῶς ἀπὸ τῶν

NAPÆUS CRINIADÆ. XX.

SCis cùm oneraſſem aſinum caricis compactis. cùm igitur perduxiſſem eo usque ubi illas vendidi cuidam noto homini: ducit me non nemo in theatrum: & collocatum in ſede opportuna, variis delectabat ſpectaculis. Equidem cætera non teneo memoriâ, ſum enim ad talia tum intelligenda tum referenda parum aptus. Unum autem ut vidi, hiſco jam, & prope ſum mutus factus. Quidam enim in medios progreſſus, collocatâ mensâ tripede, tres exiguas apponebat patellas: deinde ſub iſtis occultabat parvos quosdam candidos & rotundos lapillos, quales nos in ripis torrentium reperimus; hos modò ſingulatim ſub una quavis occultabat patella: modò, neſcio qua ratione, ſub una aliqua *omnes* oſtendebat: modo, ut ſub pa-

παρῳδῶν ἠφάνιζε, καὶ ἐπὶ τοῦ στόματος ἔφαινεν. εἶτα καταβροχθίσας, τοὺς πλησίον ἐσῶτας ἄγων εἰς μέσον, τὴν μὲν ἐκ ῥινὸς, τὴν δὲ ἐξ ὠτίων τὴν δὲ ἐκ κεφαλῆς ἀνῃρεῖτο. καὶ πάλιν ἀνελόμενος, ἐξ ὀφθαλμῶν ἐπόιει. κλεπτίστατος ἄνθρωπος, ὑπὲρ ὃν ἀκούομεν Εὐρυβάτην τὸν Οἰχαλιέα. μὴ γένειτο κατ' ἀγρὸν τοιοῦτον θηρίον, οὐ γὰρ ἁλώσεται ὑπ' οὐδενὸς, καὶ πάντα ὑφαιρούμενος τὰ ἔνδον, Φρυδά μοι τὰ κατὰ τὸν ἀγρὸν ἀπεργάσεται.

ΕΥΝΑΠΗ ΓΛΑΥΚΙΑ.

Ὁ μὲν ἀνὴρ ἀπόδημος ἐστί μοι, τρίτην ταύτην ἡμέραν ἔχων ἐν ἄστει· ὁ δὲ θητεύων παρ' ἡμῖν Παρμένων, ζημία καθαρὰ, ῥάθυμος ἄνθρωπος, καὶ τὰ πολλὰ καταπίπτων εἰς ὕπνον. ὁ δὲ λύκος ἀρ-

tellis diſparerent efficiebat, & in ore oſtendebat: deinde cùm deglutiiſſet; (adductis in medium qui prope adſtabant,) alium ex nare, alium ex aure, alium ex capite depromebat: deinde iterum ſublatos ex oculis *hominum* removebat. Maximè clancularius ille homo eſt, ſupra illum, de quo audimus, Eurybatem Oechalienſem. ne mihi exiſtat ruri talis beſtia, non enim deprehendetur à quoquam: omniaque domi ſurripiens, evanida quæ ruri habeo faciet.

EUNAPE GLAUCÆ. XXI.

VIr meus abeſt, tertium jam diem faciens in urbe: qui autem mercede ſervit apud nos Parmeno, damnum merum *eſt*, homo ſegnis, & plerumque delabens in ſomnum: lupus verò gravis accola, cujus ex oculis emicat cædis

γαλέος πάροικος. βλέπων Φονῶδες τὶ καὶ ὠμοβόρον, Χιόνην τὴν καλλίσην τῶν αἰγῶν ἐκ τοῦ Φελλέως ἁρπάσας οἴχεται· καὶ ὁ μὲν δειπνεῖ ἀγαθὴν αἶγα καὶ εὐγάλακτον, ἐγὼ δὲ δάκρυα τῶν ὀφθαλμῶν ἀπολείβω. πέπυσαι δὲ τούτων οὐδὲν ὁ ἀνήρ. εἰ δὲ μάθῃ, κρεμήσεται μὲν ἐκ τῆς πλησίον πίτυος ὁ μισθωτός· αὐτὸς δὲ οὐ πρότερον ἀνήσει, πάντα μηχανώμενος, πρὶν τὰς παρὰ τοῦ λύκου δίκας εἰσπράξασθαι.

ΠΟΛΥΑΛΣΟΣ ΕΥΣΤΑΦΥΛΩι.

ΠΑγην ἔσησα ἐπὶ τὰς μιαρὰς ἀλώπεκας, κρεάδιον τῆς σκανδάλας ἀφάψας. ἐπεὶ γὰρ ἐπολέμουν τὰς σαφυλὰς, καὶ οὐ μόνον τὰς ῥάγας ἔκοπτον, ἀλλ' ἤδη καὶ ὁλοκλήρους ἀπέτεμνον τῶν οἰνάρων τοὺς βότρυς· ὁ δεσπότης δὲ ἐπισήσεσθαι

avidum quiddam & crudivorum. Chionen enim pulcherrimam caprarum raptam ſecum abſtulit: atque ille quidem cœnat egregiam capram, ego autem lacrymas oculis effundo. Reſcivit autem iſtorum nihil maritus. quod ſi intellexerit: pendebit ex proxima pinu mercenarius; ipſe autem *maritus* non remittet omnia moliri prius quam à lupo pœnas ſumat.

POLYALSUS EUSTAPHYLO. XXII.

DEcipulam ſtatui ſceleratis illis vulpibus, carunculâ ſuſpensâ ex tendicula. cùm enim infeſtarent uvas, & non ſolum acinos cæderent, ſed integros etiam abſcinderent à pampinis racemos: Herus autem adfuturus nunciaretur, (immitis homo & acer, ſententias &

ma-

κατηγγέλλετο : ἀργαλέος ἄνθρωπος καὶ δριμὺς, γνωμίδια καὶ προβουλευμάτια συνεχῶς πρὸς Ἀθηναίους εἰσηγούμενος, καὶ πολλοὺς ἤδη διὰ σκαιότητα τρόπου καὶ δεινότητα ῥημάτων ἐπὶ τοὺς Ἕνδεκα ἀγαγών : δείσας μή τι πάθοιμι κἀγὼ, καὶ ταῦτα τοιούτου δεσπότου ὄντος, τὴν κλέπτην ἀλώπεκα συλλαβὼν, ἐβουλόμην παραδοῦναι. ἀλλ' ἡ μὲν οὐχ ἥκε. Πλαγγὼν δὲ τὸ Μελιταῖον κυνίδιον, ὃ τρέφομεν ἄθυρμα τῇ δεσποίνῃ πρεσηνὲς, ὑπὸ τῆς ἄγαν λιχνείας ἐπὶ τὸ κρέας ὁρμῆσαν, κεῖτάι σοι τρίτην ταύτην ἡμέραν ἐκτάδην, νεκρὸν, ἤδη μυδῶσαν. ἔλαθον οὖν ἐπὶ κακῷ κακὸν ἀναβιβίσας. καὶ τίς παρὰ τῶ σκυθρωπῷ τῶν τοιούτων συγγνώμη; Φευξόμεθα ἢ ποδῶν ἔχομεν. χαιρέτω δὲ ὁ ἀγρὸς καὶ τἀμὰ πάντα. ὥρα γὰρ σώζειν ἐμαυτὸν, καὶ μὴ παθεῖν ἀναμένειν, ἀλλὰ πρὸ τοῦ παθεῖν φυλάξασθαι.

senatusconsulta assiduè Athenienſibus proponens, quique multos jam pravitate ingenii & vi dicendi ad Undecim viros duxerit) metuens nequid mali acciperem ego etiam, præſertim cùm talis *mihi* eſſet dominus, vulpem, quæ eſſet furaciſſima, comprehenſam volebam *ei* tradere. verùm Plangon Meliræus ille catellus, quem alimus oblectamentum domi æ gravum, cùm præ nimia guloſitate in carnem invaſiſſet, jacet tertium jam diem porrectum, mortuus, jam puteſcens. Itaque imprudens ſuper malo malum excitavi. Et quænam apud tetricum illum talium ignoſcentia? Fugiemus quantum pedibus valemus. Valeat rus & mea omnia. Tempus enim eſt ut meipſum incolumem præſtem: nec expectem ut malum patiar, ſed antequam patiar, caveam.

ΘΑ΄ΛΛΟΣ ΠΙΤΤΙ΄ΣΤΩι.

Πα΄ντα Φιλῶ τρυγᾶν, ἔστι γὰρ τὸ καρπῶν ἀποδρέπεσθαι, πόνων ἀμοιβὴ δίκαιος· ἐξαιρέτως δὲ ἐθέλω βλίττειν τὰ σμήνη. ἔχω οὖν, σίμβλους ὑπὸ τῇ πέτρᾳ ἀποκλάσας, κηρία νεογενῆ· πρῶτον μὲν οὖν τοῖς θεοῖς ἀπηρξάμην, ἔπειτα δὲ τοῖς Φίλοις ὑμῖν ἀπάρχομαι. ἔστι δὲ λευκὰ ἰδεῖν, καὶ ἀποσάζοντα λιβάδας Α΄ττικοῦ μέλιτος, οἷον αἱ Βριλησίαι λαγόνες ἐξανθοῦσι. καὶ νῦν μὲν ταῦτα πέμπομεν, καὶ εἰς νέωτα δὲ δέχοιο παρ' ἡμῶν μείζω τούτων καὶ ἡδίονα.

THALLUS PITYISTO. XXIII.

QUoslibet fructus libenter percipio: est enim fructuum decerptio digna laborum compensatio; præcipuè autem cupio castrare apum examina. habeo igitur, postquam alvearia sub petra relevi, favos recentes. Primùm equidem diis primitias tuli, pòst modò vobis amicis delibo. Sunt autem candidi adspectu, & stillant guttas Attici mellis, quale Brilesiæ cavernæ emittunt. Atque nunc quidem hæc mittimus; anno insequenti autem accipies fortè à nobis majora istis & suaviora.

ΦΙΛΟΠΟΙΜΗΝ ΜΟΣΧΙΩΝΙ.

ΛΥκον ἔοικα τρέφειν. τὸ μιαρὸν ἀνδράποδον ἐμπεσὼν εἰς τὰς αἶγας, οὐκ ἔστιν ἣν τινα οὐκ ἀπολώλεκε, τὰς μὲν ἀποδόμενος, τὰς δὲ καταθύων. καὶ τῷ μὲν ἡ γαστὴρ τῆς κραιπάλης ἐμπίμπλαται, καὶ τὰ λοιπὰ τῇ τενθείᾳ δαπανᾶται, καὶ ψάλλεται καὶ καταυλεῖται, καὶ πρὸς τοῖς μυροπωλείοις Φιλῆδεῖ· τὰ δὲ ἄυλια ἔρημα, αἶγες δὲ ἐκεῖναι αἱ πρότερον οἴχονται. τέως μὲν οὖν ἡσυχίαν ἄγω, μὴ προαισθόμενος ψύττας παρά τινες Φύγῃ. εἰ δὲ ἀνυπόπτως λαβοίμην αὐτοῦ καὶ ἐγκρατὴς γενοίμην, δεδήσεται τὼ χεῖρε, χαλινικαῖς παχείαις ἐπισύρων. καὶ τῇ σκαπάνῃ προσανέχων, ὑπὸ τῇ δικέλλῃ καὶ τῇ σμινύῃ, τῆς μὲν τρυφῆς ἐπιλήσεται, παθὼν δὲ, οἷόν ἐστι γνώσεται τὸ τὴν ἀγροικον σωφροσύνην ἀσπάζεσθαι.

PHILOPOEMEN MOSCHIONI. XXIV.

LUpum videor alere. Sceleſtus iſte ſervus impetu in capras facto, nullam non diſperdidit, partim vendendo, partim mactando. Atque illi quidem venter crapulâ impletur, cæteraque ipſe gulæ largitur, & fidibus tibiiſque demulcetur, & apud unguentariorum officinas voluptatem captat; ſtabula autem vacua, & capræ illæ priſtinæ perierunt. Hactenus equidem quietus ſum, ne, ubi præſenſerit, contento curſu fugiat; ſi autem inopinatò eum comprehendero, & in poteſtate mea habuero; vincientur ei manus, trahetque pedicas craſſas: atque raſtris intentus, ſub bidente & ligone, luxuriæ oblivíſcetur: atque damno accepto, quale ſit, cognoſcet, ruſticam ſobrietatem amplecti.

ΥΛΗ ΝΟΜΙΟΥ.

Θαμίζεις εἰς τὸ ἄστυ κατιὼν ὦ Νόμιε, καὶ τὸν ἀγρὸν οὐδὲ ἀκαρῆ θέλεις ὁρᾶν. ἀργεῖ δὲ ἡ γῆ χηρεύουσα τῶν ἐμπονούντων. ἐγὼ δὲ οἰκουρῶ μόνη, μετὰ Σισύρας ἀγαπητῶς τὰ παιδία βουκολοῦσα. σὺ δὲ ἡμῖν αὐτόχρημα, μεσαιπόλιος ἄνθρωπος, μειράκιον Ἀττικὸν ἀνεφάνης. ἀκούω γάρ σε τὰ πολλὰ ἐπὶ Σκίρου καὶ Κεραμεικοῦ διατρίβειν, οὗ Φασὶ τοὺς ἐξωλεστάτους σχολῇ καὶ ῥᾳθύμῃ τὸν βίον καταναλίσκειν.

ΛΗΝΑΪΟΣ ΚΟΡΥΔΩΝΙ.

Ἄρτι μοι τὴν ἅλω διακαθήραντι, καὶ τὸ πτύον ἀποτιθεμένῳ ὁ δεσπότης ἐπέστη· καὶ ἰδὼν, ἐφίλει τὴν φιλεργίαν. ἐφάνη δέ μοι ποθὲν ὁ Καρύ-

HYLE NOMIO. XXV.

FRequenter in urbem descendis, Nomie, & rus nec ad momentum vis adspicere. Cessat autem terra, carens opus in ea facientibus. ego verò domum servo, sola cum Syra ægre liberos alens. At tu revera semicanus homo, nobis adolescentulus Atticus subito factus es. audio enim te plerumque in Sciro & Ceramico commorari, ubi ajunt perditissimos otio & desidiâ vitam conterere.

LENÆUS CORYDONI XXVI.

Cùm jam aream purgassem, & ventilabrum deponerem, herus supervenit: visamque probabat meam sedulitatem. emicuit autem mi-

κειος δαίμων, Στρόμβιχος ὁ παμπόνηρος. ἰδὼν γάρ με ἑφεπόμενον τῷ δεσπότῃ, κειμένην σισύραν, ἣν ἀποθέμενος εἰργαζόμην, ὑπὸ μάλης ὤχετο φέρων. ὡς ὁμοῦ ζημίαν, καὶ τὸν ἀπὸ τῶν ὁμοδούλων προσφλῆσαι γέλωτα.

ΓΕΒΕΛΛΟΣ ΣΑΛΑΜΩΝΙΔΙ.

Τί ταῦτα ὦ Σαλαμωνὶς ὑπερφανεῖς τάλαινα; οὐκ ἐγώ σε εἰς τεύργασήριον καθημένην παρὰ τὸν Λ'κέσην τὸν ἑτερόποδον ἀνειλόμην; καὶ ταῦτα λαθραίως τῆς μητρός; καὶ καθάπερ τινὰ ἐπίκληρον ἐγγυητὴν ἀγαγόμενος ἔχω; σὺ δὲ φρυάττῃ, παιδισκάριον ἐυτελὲς, καὶ κιχλίζουσα καὶ μωκωμένη με διατελεῖς. οὐ παύσῃ τάλαινα τῆς ἀγερωχίας; ἐγώ σοι τὸν ἐραστὴν δέιξω δεσπότην, καὶ κάχρυς

hi alicunde Corycæus dæmon, Strombichus ille peſſimus. cùm enim vidiſſet me ſubſequi herum, jacentem rhenonem, quo depoſito opus faciebam, ſub alis abſtulit. ut ſimul damnum & conſervorum meruerim riſum.

GEBELLUS SALAMINIDI. XXVII.

QUid iſtam, ô Salaminis, ſuperbiam præ te fers? nonne ego te in officina ſedentem, apud Sartorem illum claudum, ſuſtuli, idque clam matre? & tamquam aliquam tuâ hæreditate dotatam, quam deſponſatam duxerim, habeo? At tu puella humilis, ferox es, & cachinnari & illudere me adhuc pergis? Nonne deſiſtes, infelix, ab hac inſolentia? Ego faxo ut amatorem experiaris dominum, & hordea

ἐπὶ τῶν ἀγρῶν φρύγειν ἀναπέισω. καὶ τότε ἴσῃ μαθοῦσα οἵων κακῶν σεαυτὴν ἔνδον ἔθηκας.

ΣΑΛΑΜΩΝΙΣ ΓΕΒΕΛΛΩι.

ΠΑ'ντα ὑπομένειν ὅια τε εἰμὶ, πλὴν τοῦ συγκαθεύδειν δέσποτα μετὰ σοῦ. καὶ τὴν νύκτα οὐκ ἔφυγον, οὐδὲ ἐπὶ τοῖς θάμνοις ἐκρυπτόμην, ὡς ἐδόκεις, ἀλλὰ τὴν κάρδοπον ὑπεισελθοῦσα, ἐκείμην, ἀμφιθεμένη τὸ κοῖλον τοῦ σκεύους εἰς κάλυμμα. ἐπειδὴ δὲ κέκρικα βρόχῳ τὸν βίον ἐκλιπεῖν· ἄκουε ἀναφανδὸν, πάντα γάρ μου περιαιρεῖ φόβον ἡ πρὸς τὸ τελευτᾶν ὁρμή. ἐγώ σε ὦ Γέβελλε συγῶ, τοῦτο μὲν, βδελυττομένη τὸ βάρος τοῦ σώματος, καὶ ὥσπερ τι κίναδος ἐκτρεπομένη· τοῦτο δὲ, τὴν δυσχέρειαν τοῦ σώματος, ἐκ τοῦ μυχαιτάτου τῆς φάρυγγος, τὴν δυσοσμίαν ἐκπέμποντος.

ruri torrere docebo: atque tunc ſcies, experta, in cujusmodi mala te ipſam conjeceris.

SALAMINIS GEBELLO. XXVIII.

OMnia parata ſum tolerare, Here, præterquam tecum unà dormire. & hac nocte non fugi: neque in virgultis latebam, ut putabas; ſed mactram ſubii, & jacebam impoſito concavo illius vaſis pro tegumento. Quandoquidem autem decrevi laqueo vitam hanc finire, auſculta dicenti propalam; omnem enim mihi adimit metum moriendi voluntas. Ego te, Gebelle, odi, tum molem iſtam corporis abominans, & velut aliquam tetram belluam averſans, tum moleſtiam oris ex intimo guttu-

κακὸς κακῶς ἀπόλοιο τοιοῦτος ὤν. βάδιζε παρά τινα λιμοῦσαν ἄγροικον γραῦν ἐπὶ ἑνὶ γομφίῳ σαλεύουσαν, ἀλιλιμμένην τῷ τῆς πίττης ἐλαίῳ.

ΟΡΙΟΣ ΑΝΘΟΦΟΡΙΩΝΙ.

Ἠπιστάμην σε ὦ Ἀνθοφορίων ἁπλοῦν ἄνθρωπον, καὶ αὐτόχρημα ἀπὸ τῆς ἀγροικίας ἀγροικίζοντα, σεμφύλων καὶ κόνεως πνέοντα. ἠγνόουν δὲ ὅτι δεινὸς εἶ ῥήτωρ, ὑπὲρ τοὺς ἐν Μιλήτῳ τῶν ἀλλοτρίων ἕνεκεν ἀδικομαχοῦντας. κινήσας γὰρ ἀπὸ τοῦ κωμάρχου δίκας ἔναγχος, οὐκ ἔστιν ἣν οὐχὶ νικήσας ἀπηλλάγης. μακάριε τῆς γλώσσης. καὶ λαλίστερε τρυγόνος. ἐγὼ δὲ ἑρμαίῳ σοι χρῶμαι, τὸ τοῦ λόγου. ἔκκειμαι γὰρ τοῖς βουλομένοις τἀμὰ σφετερίζεσθαι. καὶ ἀγαπῶ τὴν ἡσυχίαν, καὶ ταῦ-

rure graveolentiam emittentis. Malus malè pereas, qui talis es. Abi ad aliquam delirantem rusticam vetulam, uno dente molari viventem, unctam picis oleo.

ORIUS ANTHOPHORIONI. XXIX.

IMaginabar te, ô Anthophorion, simplicem hominem, & re ipsa a rure rusticum, qui fraces & pulverem spiraret; ignorabam verò te disertum esse Oratorem, supra illos qui in Meticheo propter aliena jure decertant. Cum enim moveris sub Magistro vici nuper lites, in nulla non victor abiisti Macte linguâ, loquacior turture. Ego verò te utor pro lucro Mercuriali, quod proverbio dicitur. expositus enim sum iis qui volunt mea ad se rapere: &

τα εἰδὰς ὅτι μοι πολλὰ ἐκ τῆς ἀπραγμοσύνης φύεται πράγματα.

Α'ΜΠΕΛΙ'ΩΝ Ε'ΤΕ'ΡΓΩι.

Πολὺς ὁ χειμὼν τὸ τῆτες, καὶ οὐδενὶ ἐξιτόν, πάντα ἡ χιὼν κατέιληφε, καὶ λευκανθίζουσιν οὐχ ὁι λόφοι μόνον, ἀλλὰ καὶ τὰ κοῖλα τῆς γῆς. ἀπορίᾳ δὲ ἔργων. ἀργὸν δὲ καθίζειν ὄνειδος. προκύψας δῆτα τῆς καλύβης, οὐκ ἔφθην παρανόιξας τὸ θυρίον, καὶ ἑρῶ σὺν τῷ νιφετῷ δῆμον ὅλον ὀρνέων φερόμενον· καὶ κιψίχους καὶ κίχλας. εὐθέως οὖν ἀπὸ τῆς λεκάνης ἀναπάσας ἰξὸν, ἐπαλείφω τῶν ἀχράδων τοὺς κλάδους. καὶ ὅσον οὔπω τὸ νέφος ἐπέσχ τῶν φρυθίων, καὶ πᾶσαι ἐκ τῶν ἐρεδάμνων ἐκρέμαντο, θέαμα ἡδὺ, πτερῶν ἐχόμε-

amo quietem, idque, cùm ſciam multa mihi ex hoc otio naſci negotia.

AMPELION EVERGO. XXX.

VEhemens eſt hyems hoc anno, & nemini fas exire. omnia nix occupavit: & albicant non colles tantum, ſed & depreſſa terræ loca. Non eſt facultas aliquid agendi; otioſum autem ſedere dedecus. cùm igitur proſpectarem ex caſa, vix aperueram nonnihil oſtium, & video cum cibis gentem totam avium ferri: & merulas & turdos. Statim itaque à pelvi revulſo viſco, inungo piraſtrorum ramos. & quanta nunquam alias nubes adfuit avicularum: omnesque à furculis pendebant, ſpectaculum jucundum, alis retentæ, & capite ac pedibus

ναι, καὶ κεφαλῆς καὶ ποδῶν εἰλημμένοι. ἐκ τούτων λαχὸν μοι τὰς πίονας καὶ ἐυσάρκους ἀπέσταλκα πέντε ἔικοσιν. κοινὸν γὰρ ἀγαθὸν τοῖς ἀγαθοῖς. Φθονούντων δὲ ὁι πονηροὶ τῶν γειτόνων.

ΦΙΛΟ'ΚΤΜΟΣ ΘΕΣΤΤ'ΛΛΩι.

'Ο Τπώποτε εἰς ἄστυ καταβὰς, οὐδὲ εἰδὼς τί ποτέ ἐστιν ἡ λεγομένη πόλις, ποθῶ τὸ καινὸν τοῦτο θέαμα ἰδεῖν, ὑΦ' ἑνὶ περιβόλῳ κατοικοῦντας ἀνθρώπους, καὶ τ' ἄλλα ὅσα διαΦέρει πόλις ἀγροικίας μαθεῖν· εἰ οὖν σοι πρόΦασις ὁδοῦ ἄστυδε γένηται, ἧκε ἀπάξων νῦν κἀμέ. καὶ γὰρ ἐγὼ δεῖν οἶμαι τοῦ πλείόν τι μαθεῖν, ἤδη μοι βρύειν ὀριξι τῆς ὑπήνης ἀρχομένης. τίς οὖν δή με κἀκεῖ μυσαγωγεῖν ἐπιτήδειος, ἢ σὺ, ὁ τὰ πολλὰ ἔισω πυλῶν ἀλινδούμενος;

prehenſæ. Ex his partem electam miſi pinguiores tibi & carnoſiores, viginti quinque. nam bonum inter bonos eſt commune. Invideant autem qui ſunt improbi ex vicinis.

PHILOCYMUS THESTYLLO. XXXI.

CUm nunquam adhuc in urbem deſcenderim, neque ſciam quidnam id ſit quod dicitur civitas; cupio novum illud ſpectaculum videre, in uno ambitu habitantes homines: & reliqua quibus differt civitas à rure diſcere. Si igitur tibi cauſa profectionis in urbem exiſtat, venito abducturus jam & me nam & ego videor debere plus diſcere, jam mihi pullulare pilis mento incipiente. Quis ergo me iis quæ ibi fiunt iniciare idoneus, niſi tu, qui plerumque intra portas volutaris?

ΣΚΟΠΙΑ΄ΔΗΣ ΚΟΤΙ΄ΩΝΙ.

ΒΑ΄λλ' ἐς μακαρίαν. οἷον κακόν ἐστιν ὦ Κοτίων ἡ μέθη, ἐμπεσὼν γὰρ εἰς συμπόσιον κακοδαιμόνων ἀνθρώπων: οἰνόφλυγες δὲ πάντες ἦσαν, καὶ οὐδεὶς τῷ μέτρῳ τὸ πιεῖν ἔσεργε· συνεχῶς δὲ περιφερομένης τῆς κύλικος, ἣν τοῖς ἀρνουμένοις τοὐπίτιμον, ἔδει γὰρ αὐτοὺς εἰς τὴν ὑστεραίαν ἑστιᾶν: οἶδα (δ') ἐγὼ τρίτην ταύτην ἔχων ἡμέραν καρηβαρῶν καὶ τὴν κραιπάλην ἀπερυγγάνων.

Α΄ΝΘΥΛΛΑ ΚΟΡΙ΄ΣΚΩι.

Ἔοικε καὶ τὰ νάματα εἰς τὰ ἄνω ῥυήσεσθαι, εἴγε οὕτως ὦ Κορίσκε ἀφιλικέστερος γεγονὼς, ὅτε ἤδη λοιπὸν υἱοὺς καὶ θυγατριδοὺς ἔχο-

SCOPIADES COTIONI. XXXII.

APage in Macariam. quàm mala res eſt, ô Cotion, ebrietas. delapſus enim in convivium perditiſſimorum hominum, (temulenti autem omnes erant, & nullus adhibito modo bibere amabat; ſed aſſiduè circumlato calice, erat renuentibus pœna *ſtatuta:* oportebat enim ipſos poſtridie epulum dare.) experior, tertium jam diem, durantem gravedinem capitis: & crapulam eructo.

ANTHYLLA CORISCO. XXXIII.

VIdentur & fluenta ſurſum versùs lapſura, ſiquidem tu Coriſce, tam aliena in ætate conſtitutus, quando jam filios, & nepotes habemus, amas Citharistriam, & me pungis, us-

μεν, ἐρᾷς κιθαρῳδοῦ γυναικὸς, κἀμὲ κυίζεις, ἄχρι τοῦ καὶ αὐτὴν ἐκρινῆσαι τὴν καρδίαν. ἐγὼ μὲν γὰρ ἀτιμάζομαι, τριακοστὸν ἔτος ἤδη συνοῦσά σοι· παρθενίαν δὲ ἱππόπορνος μεθ' ὑποκορισμᾶν ἐκθεραπεύεται, ὅλον σε αὐτοῖς ἀγροῖς καταπισοῦσα. γελῶσι δὲ οἱ νέοι, καὶ σὺ τοῦ γέλωτος ἀναισθήτως ἔχεις. ὦ γῆρας ἑταίρας παίγνιον.

ΓΝΑΘΩΝ ΚΑΛΛΙΚΩΜΙΔΗ.

Τίμωνα οἶσθα, ὦ Καλλικωμίδη, τὸν Ἐχεκρατίδου τὸν Κολλυτέα, ὃς ἐκ πλουσίου, σπαθήσας τὴν οὐσίαν εἰς ἡμᾶς τοὺς παρασίτους καὶ τὰς ἑταίρας, εἰς ἀπορίαν συνηλάθη· εἶτ' ἐκ φιλανθρώπου μισάνθρωπος ἐγένετο, καὶ τὴν ἀπήμαντον ἐμιμήσατο σύγα; καταλαβὼν γὰρ τὴν ἐσχατιὰν,

que adeo ut ipsum extriveris cor. Ego enim ignominiâ afficior tricesimum annum jam habitans tecum in matrimonio; immane autem scortum, virginitati suæ, speciosum nomen servans, medetur, cùm totum te una cum ipsis agris devoraverit. Rident verò adolescentuli: & tu derideri te non sentis. O senium meretricis ludibrium!

GNATHO CALLICOMIDÆ. XXXIV.

TImonem nosti, Callicomides, Echecratidis filium, illum Collytensem, qui ex divite, postquam prodegit opes in nos parasitos & in meretrices, ad inopiam compulsus est: postea ex humanissimo hominum osor factus est, & Apemanti imitatus est odium? occupatô enim agrô, glebis prætereuntes incessit, studiosè providens

ταῖς βώλοις τοὺς παριόντας βάλλει, προμηθούμενος μηδένα αὐτῷ καθάπαξ ἀνθρώπων ἐντυγχάνειν. οὕτως τὴν κοινὴν Φύσιν ἀπέσραπται. οἱ δὲ λοιποὶ τῶν Ἀθήνησι μεσοπλούτων Φειδόντες εἰσὶ καὶ γνίφωνες μικροπρεπέστεροι. ὥρα μοι μετανίσασθαι, καὶ πονοῦντι ζῆν. δέχου δὲ οὖν με μισθωτὸν κατ' ἀγρὸν, πάντα ὑπομένειν ἀνεχόμενον ὑπὲρ τοῦ τὴν ἀπλήρωτον ἐμπλῆσαι γαστέρα.

ΘΑΛΛΙΣΚΟΣ ΠΕΤΡΑΙΩι.

Ἄτχμὸς τὰ νῦν. οὐδαμοῦ νέφος ὑπὲρ γῆς αἴρεται· δεῖ δὲ ἐπομβρίας. διψῇν γὰρ τὰς ἀρούρας αὐτὰς τὸ κατάξηρον τῆς βώλου δείκνυσι. μάταια ἡμῖν ὡς ἔοικε καὶ ἀνήκοα τέθυται τῷ Τετίῳ. κἀιτοιγε ἐξ ἀμίλλης ἐκαλλιερήσαμεν πάντες οἱ τῆς κώμης ἱκήτορες, καὶ ὡς ἕκαστος δυνάμεως ἢ πε-

ne quisquam ipsum omnino hominum adeat: adeo communem naturam aversatur. Reliqui autem qui Athenis sunt ex mediocriter divitibus, Phidone sunt & Gniphone sordidiores. Tempus est ut migrem hinc, & laborando victitem. Accipe ergo me mercenarium ruri, omnia tolerare sustinentem, ut inexplebilem hunc impleam ventrem.

THALLISCUS PETRÆO. XXXV.

SIccitas nunc est: nusquam nubes super terra tollitur: opus autem pluviâ; sitire enim agros ipsos ariditas glebæ demonstrat. Frustra à nobis, ut videtur, & sine exauditione, sacrificatum est *Jovi* pluvio. etsi certatim litavimus omnes vici incolæ. & ut quisque poterat, ac

ριουσίας συνεισηνέγκατο, ὁ μὲν κριὸν, ὁ δὲ τράγον, ὁ δὲ καρπὸν, ὁ πένης πόπανον, ὁ δὲ ἔτι πενέστερος λιβανωτοῦ χόνδρους εὖ μάλα ἐυρωτιῶντας. ταῦρον δὲ οὐδείς. οὐ γὰρ ἐυπορίᾳ βοσκημάτων ἡμῖν, τὴν λεπτόγεων τῆς Ἀττικῆς κατοικοῦσιν. ἀλλ' οὐδὲν ὄφελος τῶν δαπανημάτων. ἔοικε γὰρ πρὸς ἑτέροις ἔθνεσιν ὁ Ζεὺς ὢν, τῶν τῇδε ἀμελεῖν.

ΠΡΑΤΙΝΟΣ ΜΕΓΑΛΟΤΕΛΕΙ.

Χαλεπὸς ἦν ἡμῖν ὁ στρατιώτης, χαλεπός. ἐπεὶ γὰρ ἦκε δείλης ὀψίας καὶ κατήχθη οὐ κατὰ τύχην ἀγαθὴν εἰς ἡμᾶς, οὐκ ἐπαύσατο ἐνοχλῶν τοῖς διηγήμασι, δεκάδας τινὰς καὶ Φάλαγγας ὀνομάζων, εἶτα σισύρας καὶ καταπέλτας, καὶ δέρρας. καὶ νῦν μὲν ὡς ἀνέτρεψε τοὺς Θρᾷκας, τὸν προη-

opibus valebat contulit: hic arietem, ille hircum, ille aprum: pauper libum, adhuc pauperior thuris micas ſatis carioſas: taurum autem nemo; non enim *eſt* copia armentorum nobis, qui tenue ſolum Atticæ habitamus. ſed nullus fructus impenſarum; videtur enim in aliis gentibus occupatus Jupiter, quid hic fiat parum curare.

PRATINAS MEGALOTELI. XXXVI.

MOleſtus erat nobis miles ille, moleſtus. poſtquam enim venit circa veſperam, & divertit non bono fato apud nos; non deſiit nos obtundere narrationibus, decurias neſcio quas & phalangas nominans, deinde ſariſſas & catapultas; & modo ut profligaſſet Thraces, poſtquam ducem *eorum* conjectu jaculi percuſſiſſet:

γεμόνα βαλὼν μεσαγκύλῳ, νῦν δὲ ὡς κεντῷ διαπείρας τὸν Ἀρμένιον ἀπώλεσεν· ἐπὶ πᾶσί τε αἰχμαλώτους παρῆγε καὶ ἐδείκνυ γυναῖκας, ἃς ἔλεγεν ἐκ τῆς λείας ὑπὸ τῶν στρατηγῶν ἀριστείας αὐτῷ γέρας δεδόσθαι. τῷ δὲ ἐγκανάξας κύλικα ἐυμεγέθη, Φλυαρίας φάρμακον ἄρεγον· ὁ δὲ καὶ ταύτην καὶ πλείονας ἐπὶ ταύτῃ καὶ ἀδροτέρας ἐκπιὼν, οὐκ ἐπαύστατο τῆς ἀδολεσχίας.

Ε'ΠΙΦΤΑΛΙΣ Α'ΜΑΡΑΚΙ'ΝΗ.

Ἱερσιώνην ἐξ ἀνθῶν πλέξασα, ἤειν ἐς Ε'ρμαφροδίτου, τῷ Ἀλωπεκῆθεν ταύτην ἀναθήσουσα. εἶτά μοι λόχος ἐξαίφνης ἀναφαίνεται νέων ἀγερώχων, ἐπ' ἐμὲ συντεταγμένων· ὁ λόχος δὲ Μοσχίωνι συνέπραττεν. ἐπεὶ γὰρ τὸν μακαρίτην ἀπέβαλον Φαιδρίαν, οὐκ ἐπαύστατό μοι πράγματα

modo ut conto transfixum Armenium interfeciſſet: poſtque *hæc* omnia captivas producebat & oſtendebat mulieres, quas dicebat ex præda à ducibus, fortitudinis ſibi præmium datas. Ei verò *ego* impletum calicem ingentem, garrulitatis remedium porrigebam; is autem & hôc, & pluribus poſt hunc atque grandioribus exhauſtis, non deſiit nugari.

EPIPHYLLIS AMARACINÆ. XXXVII.

SErviam ex floribus cùm nexuiſſem, ibam in Hermaphroditi *fanum*, illi Alopecenſi eam ſuſpenſura Deinde mihi inſidiæ derepente pateſiunt juvenum protervorum in me inſtructorum: iſti autem inſidiatores cum Moſchione faciebant. poſtquam enim beatum amiſi Phæ-

παρέχων, καὶ γαμησέιαν. ἐγὼ δὲ ἀνηνάμην. ἅμα μὲν τὰ νεογνὰ παιδία κατοικτείρουσα, ἅμα δὲ τὴν ἥρω Φαιδρίαν ἐν ὀφθαλμοῖς τιθεμένη. ἐλάνθανον δὲ ὑβρισθὴν ὑμέναιον ἀναμένουσα, καὶ θάλαμον νάπην εὑρίσκουσα. εἰς γὰρ τὸ συνηρεφὲς ἀγαγὼν, οὗ τὸ πύκνωμα συνεχὲς ἦν τῶν δένδρων, αὐτοῦ που κατὰ τῶν ἀνθῶν καὶ τῆς φυλλάδος, αἰδοῦμαι εἰπεῖν, ὦ φιλτάτη, τὶ παθεῖν ἐπηνάγκασε. καὶ ἔξω τὸν ἐξ ὕβρεως ἄνδρα. οὐχ ἑκοῦσα μὲν, ὅμως δὲ ἔχω. καλὸν μὲν γὰρ ἀπέρασον εἶναι τῶν ἀβουλήτων· ὅτῳ δὲ οὐχ ὑπάρχει τοῦτο, κρύπτειν τὴν συμφορὰν ἀναγκαῖον,

driam, non deſtitit mihi moleſtias exhibere, & me uxorem expetere. ego veró recuſavi; ſimul parvulos liberos miſerans, ſimul etiam Heroëm Phædriam præ oculis ponens. Sed imprudens flagitioſo hymenæo me ſervavi: & thalamum reperi nemus. nam in opacum me deductam, ubi denſitas continua erat arborum, ibidem ſuper floribus & fronde, verecundor dicere, chariſſima, quid pati coëgerit. atque habeo ex flagitio conciliatum maritum; non ſponte mea quidem, ſed tamen habeo. Etenim res præclara quidem eſt non experiri ea quæ nolis; cui autem id non conceditur, ei celare calamitatem neceſſarium.

Ε'ΥΔΙΚΟΣ ΠΑΣΙ'ΩΝΙ.

Φρύγα οἰκέτην ἔχω πονηρόν· ὃς ἀπέβη τοιοῦτος ἐπὶ τῶν ἀγρῶν. ὡς γὰρ τῇ ἕνῃ καὶ νέᾳ κατ' ἐκλογὴν τοῦτον ἐπριάμην, Νουμήνιον μὲν εὐθὺς ἐθέμην καλεῖσθαι· δόξας τε εἶναι ῥωμαλέον, καὶ ἐγρηγόρως βλέποντα, μετὰ περιχαρίας ἦγον, ὡς ἐπὶ τῆς ἐσχατιᾶς μοι ἐσόμενον. ἦν δὲ οὗτος ἅμα λαμπρὰ ζημία. ἐσθίει μὲν γὰρ τεσσάρων σκαπανέων σιτία· ὑπνοῖ δὲ ὅσον ἤκουσα τετυφωμένου σοφιστοῦ λέγοντος, Ε'πιμενίδην τινὰ Κρῆτα κεκοιμῆσθαι. ἢ ὡς ἀκούομεν τὴν Η'ρακλέους τριέσπερον. τί ἂν οὖν ποιοίμην, ὦ φίλτατε ἑτάιρων καὶ συνεργῶν, φθι Φράσον, ἐπὶ τοιούτῳ θηρίῳ καταβαλὼν ἀργυρίδιον;

EUDICUS PASIONI. XXXVIII.

PHrygem ſervum habeo improbum. qui evaſit talis ruri. ut enim Calendis per electionem eum emi, Numenium equidem ſtatim juſſi vocari: cumque videretur mihi eſſe robuſtus, & excitato adſpectu, cum magna lætitia ducebam *eum*, ut in agro mihi eſſet. erat verò is manifeſtum diſpendium. comedit enim quatuor foſſorum cibum: dormit autem tantum quantum audivi, deliro ſophiſta dicente, Epimenidem quendam Cretenſem dormiviſſe: vel, ut audimus, Herculis triveſperum. Quid igitur faciam, ô chariſſime ſodalium & laboris ſociorum, age ediſſere, poſtquam in talem beſtiam impendi pecuniam?

Ε'Τ-

ΕΥΘΥΔΙΚΟΣ ΕΠΙΦΑΝΙΩι.

Πρὸς θεῶν καὶ δαιμόνων, ὦ μῆτερ, πρὸς ὀλίγον καταλιποῦσα τοὺς σκοπέλους καὶ τὴν ἀγροικίαν, θέασαι πρὸ τῆς τελευταίας ἡμέρας τὰ κατ' ἄσυ καλά. εἶα γὰρ εἶά σε λανθάνει, ἅλῶα καὶ ἀπατούρια καὶ Διονύσια, καὶ ἡ νῦν ἑστῶσα σεμνοτάτη τῶν θεσμοφορίων ἑορτή. ἡ μὲν γὰρ ἄνοδος κατὰ τὴν πρώτην γέγονεν ἡμέραν, ἡ νηστεία δὲ τὸ τήμερον εἶναι παρ' Ἀθηναίοις ἑορτάζεται, τὰ Καλλιγένεια δὲ εἰς τὴν ἐπιοῦσαν θύουσιν. εἰ οὖν ἐπειχθείης, ἔρχῃ ἕωθεν πρὸ τοῦ τὸν ἑωσφόρον ἐξελθεῖν· συνθύσεις ταῖς Ἀθηναίων γυναιξὶν αὔριον. ἧκε οὖν, μὴ μέλλε. καὶ πρὸς ἐμῆς, καὶ τῶν αὐταδέλφων τῶν ἐμῶν σωτηρίας. τὸ γὰρ ἄγευστον πόλεως καταλῦσαι τὸν βίον, ἀποτρόπαιον, ὡς ὃν θηριῶδες

EUTHYDICUS EPIPHANIO. XXXIX.

Per deos ac dæmonas, ô mater, *obsecro*, ad exiguum *tempus* relictis scopulis & rure, spectа ante extremum diem quæ in urbe sunt pulchra. qualia enim, qualia te fugiunt, Halloa, & Apaturia, & Dionysia, & hoc præsens sanctissimum Thesmophoriorum festum. nam Ascensio quidem primo facta est die, Jejunium autem hodie apud Athenienses celebratur, Calligeniæ autem postridie sacrificant. Si igitur festinaveris, advenis manè antequam Lucifer exeat: unà sacrificas cum Athenienſium mulieribus cras. veni igitur, ne cunctеris, perque meam, perque fratrum meorum germanorum salutem *obsecro*, nam inexpertam urbis finire vitam abominabile, utpote belluinum ac morosum. Perfer autem, ô mater, utilitatis causâ li-

καὶ δύστροπον. ἀνέχου δὲ ὦ μῆτερ τῆς ἐπὶ τῷ συμφέροντι παῤῥησίας. καλὸν ἅπασιν ἀνθρώποις ἀνυποστόλως ὁμιλεῖν· οὐχ ἥκιστα δὲ ἀναγκαῖον τὸ, πρὸς τοὺς οἰκείους ἀληθίζεσθαι.

ΦΙΛΟΜΗΤΩΡ ΦΙΛΙΣΩΙ.

Ἐγὼ μὲν τὸν παῖδα ἀποδόσθαι εἰς ἄστυ ξύλα καὶ κριθὰς ἀπέπεμψα, ἐπανήκειν τὴν αὐτὴν τὰ κέρματα κομίζοντα παρεγγυῶν. χόλος δὲ ἐμπεσὼν, ἐξ ὅτου δαιμόνων εἰς αὐτὸν, οὐκ ἔχω λέγειν, ὅλον παρήμειψε, καὶ τῶν φρενῶν ἔξω κατέστησε. θεασάμενος γὰρ ἕνα τουτωνὶ τῶν μεμηνότων, οὓς διὰ τὸ μανιῶδες πάθος, τὴν λύτταν, κύνας ἀποκαλεῖν εἰώθασιν, ὑπερέβαλε τῇ μιμήσει τῶν κακῶν τὸν ἀρχηγέτην. καὶ ἔστιν ἰδεῖν θέαμα ἀποτρόπαιον καὶ φοβερὸν, κόμην αὐχμηρὰν ἀνασείων, τὸ βλέμμα

berè dicentem. Bonum eſt omnibus hominibus nihil celando converſari. inprimis neceſſe eſt domeſticos veraces eſſe.

PHILOMETOR PHILISO. XL.

EGo quidem filium in urbem ad vendenda ligna & hordeum dimiſeram, ut rediret eodem die & pecuniam ferret mandans; ſed poſtquam eum afflavit ira deorum, non poſſum dicere cujus, totum eum immutavit, & mente privavit. Cùm enim vidiſſet quendam ex iſtis veſanis, quos propter rabioſum ſtatum canes vocare ſolent, ſuperavit imitandis malis ducem: & præbet ſpectaculum abominabile ac horrendum, comam ſqualidam quatiens, adſpectu truculentus, ſeminudus in palliolo, pe-

ἰτάμὸς, ἡμίγυμνος ἐν τριβωνίῳ, πηρίδιον ἐξηρτημένος, καὶ βόπαλον ἐξ ἀχράδος πεποιημένον μετὰ χεῖρας ἔχων, ἀνυπόδητος, ῥυπῶν, ἄπρακτος· τὸν ἀγρὸν καὶ ἡμᾶς οὐκ εἰδὼς τοὺς γονεῖς, ἀλλ' ἀρνούμενος, Φύσει λέγων γεγονέναι τὰ πάντα, καὶ τὴν τῶν στοιχείων σύγκρασιν αἰτίαν εἶναι γενέσεως, οὐχὶ τοὺς πατέρας. ἔυδηλον δέ ἐστι καὶ χρημάτων περιῤῥᾶν, καὶ γεωργίαν φυγεῖν. ἀλλὰ καὶ αἰσχύνης αὐτῷ μέλει οὐδὲν, καὶ τὴν αἰδὼ τοῦ προσώπου ἀπέξυσαι. ἴσμοι οἶόν σε ὦ γεωργία τὸ τῶν ἀπατεώνων τουτωνὶ Φρονιστήριον ἐξεστραχήλιτε. μέμφομαι τῷ Σόλωνι καὶ τῷ Δράκοντι, οἳ τοὺς μὲν κλέπτοντας σκΦυλὰς, θανάτῳ ζημιοῦν ἐδικαίωσαν· τοὺς δὲ ἀνδραποδίζοντας ἀπὸ τοῦ Φρονεῖν τοὺς νέους, ἀΦῆσαι εἶναι τιμωρίας ἀπέλιπον.

ram exiguam ſuſpenſam habens, & clavam ex piraſtro factam in manibus, diſcalceatus, immundus illuvie, intractabilis: rus & nos parentes non agnoſcens, ſed abnegans, naturâ dicens facta eſſe omnia, & elementorum commixtionem eſſe cauſam generationis, non parentes. ſatis autem apparet etiam opes eum deſpicere, & agriculturam odiſſe. Sed & pudor ei curæ non eſt, & verecundiam à facie deterſit. Hem qualiter te, ô agricultura, hæc tenebrionum iſtorum Schola peſſundedit! incuſo Solonem & Draconem, qui eos quidem qui uvas furati eſſent morte multare juſtum & æquum cenſuerunt: eos autem, qui tanquam captivos à ſana mente abducunt adoleſcentulos, impunites reliquerunt.

Α'ΡΝΑ'ΔΗΣ ΜΗΛΙ'ΩΝΙ.

Ἔπεμψά σοι, τῶν Δεκειλεάσι προβάτων ἀπεκείρας τὰ ῥωμαλέα, τοὺς πόκους. ὅσα γὰρ ψώρας ὑπόπλεα, ταῦτα τῷ ποιμένι Πυῤῥίᾳ παρέδωκα χρῆσθαι ἐς ὅ, τι ἂν θέλῃ, πρὶν φθάσαι διαφθαρῆναι παντελῶς ὑπὸ τῆς νόσου. ἔχουσα οὖν ἀφθονίαν ἐρίων, ἐξύφηνον ἡμῖν ἐσθήματα πρόσφορα ταῖς ὥραις, ὡς εἶναι τὰ μὲν τῷ θέρει προσαρμόζοντα λεπτοϋφῆ· τὰ δὲ χειμέρια ἐχέτω περιττῶς τῆς κρόκης, καὶ πεπαχύνθω πλέον· ἵνα τὰ μὲν, τῇ μανότητι σκιάζῃ μόνον, καὶ μὴ καταθάλπῃ τὰ σώματα· τὰ δὲ τῇ βαρύτητι ἀπείργῃ τὸν κρυμὸν, καὶ ἀλεξάνεμα τυγχάνῃ. καὶ ἡ παρθένος δὲ ἡ παῖς ἣν ἔχομεν ἐν ὥρᾳ γάμου, συλλαμβανέτω τῆς ἰσουργίας ταῖς θεραπαινίσιν. ἵνα εἰς ἀνδρὸς ἐλθοῦσα μὴ καταισχύνῃ τοὺς πατέρας ἡμᾶς. καὶ ἄλλως εἰδέναι

ARNADES MELIADI. XLI.

MIſi tibi, Deceliæ ovibus adhuc firmis tonſis, vellera. quæ enim ſcabie plenæ, eas paſtori Pyrrhiæ tradidi, ut pro arbitrio iis uteretur, antequam prorſus perirent morbo. cum igitur habeas copiam lanarum, texe nobis veſtes aptas anni temporibus: ita ut, quæ æſtati conveniunt, ſint levidenſes; hibernæ autem habeant abunde ſubteminis, ac denſentur magis. ut illæ quidem raritate ſua inumbrent tantum, & non calefaciant corpora; iſtæ autem onere defendant frigus, ventisque arcendis ſint commodæ. Et virgo autem filia, quam habemus nubilem, unà capeſſat texturam cum ancillis; ut, ubi ad virum deducta fuerit, ne dedecore afficiat nos parentes. & alioqui ſcire

σε χρὴ, ὡς αἱ ταλασίαν ἀγαπῶσαι, καὶ τὴν Ἐργάνην θεραπεύουσαι, κόσμῳ βίου καὶ σωφροσύνῃ σχολάζουσι.

Ρ'ΑΓΗΣΤΡΑ'ΓΓΙΣΟΣ ΣΤΑΦΥΛΟΔΑΙ'ΜΟΝΙ.

Ἄρδην ἀπόλωλά σοι, ὁ γὰρ χθὲς εὐπάρυφος, πιναροῖς, ὡς ὁρᾷς, καὶ τριχίνοις ῥάκεσι καλύπτω τὴν αἰδῶ. ἀπέδυσε γάρ με Παταικίων ὁ παμπόνηρος. ὃς τὰ κέρματά μου, εἶχον δὲ, ὡς οἶσθα, ὑπόσυχνον ἀργύριον, δεξιαῖς χρώμενος ταῖς καλινδήσεσι τῶν κύβων, ἄχρι δραχμῶν καὶ ὀβολῶν ἀπεσύλησεν. ἐξὸν δέ μοι παριδεῖν ὅσον ἐζημιώθην, εἶτα ἀθῴῳ γενέσθαι τοῦ πλείονος· ἐκ τῆς κατ' ὀργὴν ἔριδος τὴν εἰς τοὔσχατον ὑπέμεινα βλάβην. καθ'

te oportet, eas, quæ lanificium amant, & Minervam colunt, modeſtiæ vitæ & caſtitati vacare.

RHAGESTRANGISUS STAPHYLODÆMONI. XLII.

FUnditus perii. nam ille ego qui heri ſplendidè veſtitus eram, ſordidis, ut vides, & cilicinis pannis tego pudenda. ſpoliavit enim me Pataecio ille ſceleratiſſimus. qui nummos meos, (habebam enim, ut ſcis, pluſculum pecuniæ) dextris uſus jactibus teſſerarum, usque ad drachmas & obolos eripuit. cùm verò poſſem negligere quidquid damni acceperam, & à majore immunis eſſe; per contentionem ab iracundia excitatam, perpeſſus ſum extremam jacturam. unamquamque enim veſtem ex provoca-

ἓν γὰρ ἕκαστον τῶν ἱματίων ἐκ προκλήσεως ἀποτιθεὶς, τέλος ἁπάντων ἔψιλώθην τῶν ἐνδυμάτων. ποῖ δὴ οὖν βαδιστέον; χαλεπῶς γὰρ καὶ λάβρως ἐπαιγίζων ὁ Βορέας δίεισι μοῦ τῶν πλευρῶν ὥσπερ βέλος. ἐς Κυνόσαργες ἴσως οἰχητέον. ἢ γάρ τις τῶν ἐκεῖ νεανίσκων ἐποικτείρας ἀμφιάσει με ἱματίοις, ἢ καταλήψομαι ἐγγύθεν τὰς καμίνους, καὶ τῷ πυρὶ ὁ δύσηνος θάλψομαι. τοῖς γὰρ γυμνοῖς σισύρα καὶ ἐφεστρὶς ἡ φλόξ, καὶ τὸ ἐκ τῆς ὕλης θέρεσθαι.

ΨΙΧΟΚΛΑΥΣΤΗΣ ΒΟΤΚΙΩΝΙ.

Τῇ πρωτεραίᾳ ξυράμενοι τὰς κεφαλὰς, ἐγὼ καὶ Στρουθίων καὶ Κύναιθος οἱ παράσιτοι, λουσάμενοι εἰς τὸ ἐν Σηραγγείῳ βαλανεῖον ἀμφὶ πέμπτην ὥραν δρόμον ἀφέντες, εἰς τὸ προάστειον τὸ Ἀγκύλης τὸ Χαρικλέους τοῦ μειρακίσκου ᾠχόμεθα. ἔν-

tione deponens, poſtremo omnibus nudatus ſum indumentis. Quò igitur eundum? graviter enim & vehementer ingruens Boreas, tranſit per mea latera tanquam telum. in Cynoſarges fortè concedendum. aut enim me ibi aliquis ex adoleſcentibus miſeratus induet veſtibus: aut occupabo proximos caminos, & igne miſer calefiam. nudis enim flamma eſt rheno & ſagum, uti & apricatio.

PSICHOCLAUSTES BUCIONI. XLIII.

PRidie tonſi capita, ego & Struthio & Cynætius paraſiti, loti in eo quod Serangii eſt balneo, circa quintam horam curſu præcipitato, in ſuburbanum Angelæ quod eſt Chariclis adoleſcentis, nos contulimus. ubi & ipſe libenter

θα αὐτός τε ἀσμένως ὑπεδέξατο, φιλόγελώς τε ὢν καὶ φιλαναλωτὴς. ἡμεῖς τε διατριβὴν αὐτῷ τε καὶ τοῖς συμπόταις παρέσχομεν, παραμέρος ἀλλήλους ἐπιῤῥαπίζοντες, καὶ ἀνάπαιστα ἔυκροτα ἐπιλέγοντες αὐτῷ, σκωμμάτων ἁλυκῶν καὶ αὐτοχαρίτων Ἀττικῶν αἱμυλίας γέμοντα. ἐν τούτῳ δὲ ἱλαρότητος καὶ ἐυφροσύνης διακειμένου τοῦ συμποσίου, ἐπέση ποθὲν Σμικρίνης ὁ δύστροπος καὶ δύσκολος, ἕπετο δὲ αὐτῷ πλῆθος οἰκετῶν, εἰ δραμόντες ἐφ' ἡμᾶς ὥρμησαν. αὐτὸς δὲ ὁ Σμικρίνης, πρῶτα μὲν τῇ καμπύλῃ παίει τὸν νῶτον τοῦ Χαρικλέους, ἔπειτα δὲ ἐπὶ κόῤῥης πατάξας, ἦγεν ὡς ἔσχατον ἀνδράποδον. ἡμεῖς δὲ νεύματι μόνῳ τοῦ πρεσβύτου εἰς τοὐπίσω τὰς χεῖρας ἐστρεβλεύμεθα. τὰ δὲ μετὰ ταῦτα ξήνας ἡμᾶς ὑστρίχιδι οὐκ ὀλίγαις οὐδ' ἐυαριθμήτοις μάστιξι, τέλος ἀγαγὼν εἰς τὸ δεσμωτήριον ἀπέθετο ὁ ἄγριος γέρων. καὶ εἰ μὴ συνήθης ὢν καὶ

nos excepit, utpote ridere amans & sumptus facere: & nos jocos ipsi atque convivis exhibuimus, invicem nobis alapas infligentes, & anapæstos sonoros accinentes, sallis dicteriis & meræ venustatis Atticæ facetiis scatentes. cùm sic in hilaritate & lætitia esset convivium, supervenit alicunde Smicrines ille morosus & asper. sequebatur autem eum agmen servorum, qui curriculò in nos aggressi sunt. ipse autem Smicrines, primùm baculo dolat tergum Chariclis, deinde maxillâ percussâ, ducebat tanquam infimum mancipium. nobis autem nutu solo senis post terga manus retorquebantur: postea cùm nos cecidisset flagello suillis setis intertexto, non paucis nec facile numerandis verberibus, postremò abductos in vincula conjecit immanis senex, atque, nisi propter fami-

πολλὰ καθυβριπαθήσας μεθ' ἡμῶν ὁ χαρίεις Εὔδημος, ἀνὴρ ἐν τοῖς πρώτοις τοῦ συμποσίου τῶν Ἀρεοπαγιτῶν, ἀνέῳξεν ἡμῖν τὸ δεσμωτήριον, τάχα ἂν καὶ τῷ δήμῳ παρεδόθημεν. οὕτως ὁ δριμὺς γέρων καὶ πικρὸς ἐπίμπρατο καθ' ἡμῶν, καὶ πάντα ἔπραττεν ὡς ἂν τὴν ἐπὶ θανάτῳ, ἴσα τοῖς ἀνδροφόνοις καὶ ἱεροσύλοις ἀπαχθείημεν.

ΓΝΑΘΩΝ ΛΕΙΧΟΠΙΝΑΚΙ.

Ἡμῶν ὡς Μεγαρέων ἢ Αἰγιέων οὐδεὶς λόγος· εὐδοκιμεῖ δὲ τανῦν Γρυλλίων μόνος καὶ κατάρχει τοῦ ἄστεος, καὶ πᾶσα αὐτῷ καθάπερ Κράτητι τῷ Θήβηθεν κοινὴ ἀνέῳγεν ἡ οἰκία. ἐμοὶ δοκεῖν, Θετταλίδα τινὰ γραῦν ἢ Ἀκαρνίδα φαρμακεύτριαν πεπορισμένος καταγοητεύει τοὺς ἀθλίους

liaritatem noſtram quodque multa nobiſcum per luxuriam conſumpſiſſet, lepidus ille Eudemus, vir primarius ex conſeſſu Areopagitarum, aperuiſſet nobis carcerem, fortè & carnifici traditi fuiſſemus. adeo acerbus ille ſenex & amarulentus erat accenſus erga nos : & omnia agebat ut rectâ ad mortem inſtar homicidarum & ſacrilegorum abduceremur.

GNATHO LICHOPINACI. XLIV.

NOſtri ut Megarenſium vel Ægienſium nulla ratio habetur. claret verò ſolus Gryllion, ac dominatur urbi, omnisque ei quemadmodum Crateti illi Thebano communiter patet domus. ut mea quidem fert ſententia, Theſſalam aliquam vetulam aut Acarnanicam veneficam adeptus, faſcinat miſeros adoleſcen-

νεκνίσκους. τί γὰρ καὶ σωμύλον ἔχει ; τί δὲ ὁμιλητικὸν καὶ ἡδὺ Φέρει ; ἀλλ' ἴσως ἐυμενεστέροις ὄμμασιν ἐκεῖνον εἶδον αἱ Χάριτες· ὡς τοὺς μὲν ἀπομάττεσθαι πρὸς αὐτοῦ, ἡμᾶς δὲ ἀγαπᾷν εἰ τὰς ἀπομαγδαλίας ὡς κυσί τις παραβρίψειε. τάχα δὲ οὐ γόης, ἀλλὰ τύχῃ κέχρηται δεξιᾷ. τύχη γὰρ παρὰ πάντα ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα. οὐδὲν γὰρ ἐν ἀνθρώποις γνώμῃ, πάντα δὲ τύχῃ. καὶ ταύτης ὁ τυχὼν ἡδύς ἐστι καὶ νομίζεται.

ΤΡΑΠΕΖΟΛΕΊΧΩΝ ΨΙΧΟΔΙΑΛΕΊΚΤΗι.

Ἤλγυνα ὦ καλὲ Ψιχίων ἀκούσας τὴν συμβᾶσάν σοι περὶ τὸ πρόσωπον συμφοράν. εἰ δὲ καὶ τοῦτον ἐγένετο τὸν τρόπον, ὃν διηγήσατο ἡμῖν

tulos. nam quid tandem habet arguti? quid comitatis ac jucunditatis affert? Sed fortè magis propitiis oculis illum vidit venustas, ut illis quidem manus ab ipso abstergantur, nos autem contenti simus, si bucceas tersorias tanquam canibus aliquis objiciat. Fortasse tamen non est fascinator, verùm fortunâ utitur secunda. Fortuna enim in omnibus obtinet hominum negotiis. Nihil enim in humanis consilium facit, omnia fortuna: atque hanc qui est adeptus, jucundus est & habetur.

TRAPEZOLICHON PSICHODIALECTÆ. XLV.

DOlui mi optime Psichion auditâ calamitate quæ tibi circa faciem evenit. Si verò ita accidit quemadmodum nobis narravit rediens à

ἐπανελθοῦσα τοῦ συμποσίου Λειριόνη: λέγω δὲ τὴν παιδίσκην Φυλλίδος τῆς ψαλτρίας: πόλεμον ὑπέσης καὶ πόρθησιν ἱκανὴν ἄνευ μηχανῆς καὶ ἑλεπόλεως: ἀκούω γὰρ καὶ τὸν καταπύγωνα καὶ θηλυδρίαν περικατεάξαι σου τὴν Φιάλην, ὡς τὰ θραύσματα λωβήσασθάι σοι τὴν ῥῖνα καὶ τὴν δεξιὰν σιαγόνα, καὶ τοῦ αἵματος ἀναχθῆναι κρουνοὺς, οἵους ὕδατος ἐν Γερανείᾳ πέτραι ϛαλάσσουσι. τίς ἔτι ἀνέξεται τῶν κακοδαιμόνων τούτων; εἰ τοσούτου τὸ ϛαϱίζεσθαι πωλούντων, ὠνούμεθα κινδύνῳ τὸ ζῆν· καὶ τὸν ἐκ λιμοῦ θάνατον δεδιότες, τὴν μετὰ κινδύνου πλησμονὴν ἀσπαζόμεθα.

convivio Lirione, (illam dico ancillulam Phyllidis Pſaltriæ) bellum perpeſſus es & excidium non mediocre ſine machina & helepoli. audio enim etiam cinædum illum ac effœminatum, impactam in te fregiſſe pateram, ita ut fragmenta labefecerint tibi naſum, & dexteram maxillam: ſanguinisque elicitæ fuerint ſcatebræ, quales aquarum in Gerania petræ ſtillant. Quis amplius ferat perditiſſimos iſtos? ſi tanti ſaginam ipſis vendentibus, periculo vitam emimus: atque ex fame mortem timentes, cum periculo ſaturitatem amplectimur.

ΣΤΕΜΦΥΛΟΧΑΙΡΩΝ ΤΡΑΠΕΖΟΧΑΡΩΝΤΙ.

Ὡς εὐτυχῶς, ὡς μακαρίως πέπραγα. ἴσως ἐρήσῃ με, τίνα τρόπον, ὦ Τραπεζόχαρον. ἐγὼ δή σοι φράσω καὶ πρὶν ἔρεσθαι. ἦγε μὲν ἡ πόλις, ὡς ἴσθα, τὴν Κυρεῶτιν ἡμέραν· ἐγὼ δὲ παραληφθεὶς ἐπὶ δεῖπνον τέρπειν, ὠρχούμην τὸν κόρδακα. οἱ δαιτυμόνες δὲ ἐκ φιλονεικίας ἔπινον, ἕως, τῆς ἀμύνης εἰς ἄπειρον προχωρούσης, κῶμος κατέσχε τὸ συμπόσιον, καὶ πάντας ὕπνος ὑπειλήφει νυσακτὴς, ἄχρι καὶ αὐτῶν τῶν οἰκετῶν. ἐγὼ δὲ περιέβλεπον μὲν εἴ τι τῶν ἀργυρῶν σκευῶν ὑφελέσθαι δυνάιμην. ὡς δὲ ταῦτα, ἔτι νηφόντων, ἐξ ὀφθαλμῶν ἐγεγόνει, καὶ ἦν ἐν ἀσφαλεῖ, τὸ χειρόμακτρον ὑπὸ μάλης λαβὼν ἐξηλλόμην, ὡς ἐν τῇ φυγῇ

STEMPHYLOCHÆRON TRAPEZOCHARONTI. XLVI.

QUàm proſperè, quàm feliciter mecum actum eſt! Quæres fortaſſe, ô Trapezocharon, quomodo? ego verò tibi ediſſeram etiam priusquam quæras. Celebrabat civitas, ut noſti, ſolemnitatem, Cureotin dictam. ego autem adhibitus in cœnam ad delectandum, ſaltabam cordacem: convivæ autem certamine inſtituto bibebant, donec ſtudio ulciſcendi *victorem* in infinitum procedente, ebrietas occupavit convivium: cunctosque ſomnus ceperat nutationem capitis inducere ſolitus. ego verò circumſpiciebam, ſi qua argentea vaſa ſubducere poſſem. ſed his, dum ſobrii adhuc eſſent, è conſpectu remotis, & in tuto poſitis; mappâ ſub alam acceptâ, exſiluì: ita ut in fuga calceorum alterum ami-

τῶν διαβάθρων ἄτερον ἀποβαλεῖν. ὅρα δὲ ὡς ἐστι πολυτελὲς, ὀθόνης Αἰγυπτίας καὶ ἀλουργοῦ πορφύρας τῆς Ἑρμιονίτιδος λεπτὸν ἐς ὑπερβολὴν καὶ πολύτιμον ὕφασμα. εἰ τοῦτο ἀδεῶς ἀπεμπολήσαιμι, γαστρῶ σε ἀγαγὼν εἰς τὸν πανδοκέα Πιθακίωνα. πολλὰς γὰρ ὁμοῦ πολλάκις παροινίας ἀνέπλημεν. καὶ χρή σε τὸν κοινωνὸν τῶν δυσχημάτων, μερίτην γενέσθαι καὶ τῆς εὐτυχούσης ἡμέρας.

ΩΡΟΛΟΓΙΟΣ ΛΑΧΑΝΟΘΑΥΜΑΣΩι.

Ἑρμῆ κερδῶε, καὶ ἀλεξίκακε Ἡράκλεις, ἀπεσώθην. οὐδὲν δεινὸν γένοιτο ἔτι. προχόην ὑφελόμενος ἀργυρᾶν Φανίου τοῦ πλουσίου, δρόμῳ δεὺς φέρεσθαι, ἦν γὰρ ἀωρία νυκτὸς μεσούσης, ἠπειγόμην σάζειν ἐμαυτόν. κύνες δὲ ἐξάιφνης οἰκουροὶ

ſerim. Adſpice quàm ſit pretioſa linteaminis Ægyptii, & tincti purpurâ Hermioniticâ, ſubtilis ſupra modum atque pretioſa textura. Si hanc ſecurè vendidero, ſaginabo te deductum ad cauponem Pithacionem. multas enim ſimul ſæpe contumelias ebriorum perpeſſi ſumus: & oportet te ſocium adverſæ fortunæ, participem fieri ſauſti diei.

HOROLOGIUS LACHANOTHAUMASO. XLVII.

MErcuri lucrifer, & malorum averſor Hercules! ſalvus evaſi. nihil periculi ſit amplius. Gutturnium ut ſurripueram argenteum Phaniæ illius divitis, in pedes me conjiciens curriculò, erat enim intempeſta nox media, properabam incolumem præſtare me ipſum. Ca-

περιχυθέντες ἄλλος ἄλλοθεν χαλεποὶ καὶ βαρεῖς τὴν ὑλακὴν, ἐπῆεσαν, Μολοττοὶ καὶ Κνώσιοι, ὑφ' ὧν οὐδὲν ἐκώλυέ με ὡς ἠδικηκότα τὴν Ἄρτεμιν διεσπᾶσθαι μέσον, ὡς μηδὲ τὰ ἀκροθίνια εἰς τὴν ὑστεραίαν περιλειφθῆναι πρὸς ταφὴν τοῖς ἐτοίμοις εἰς ἔλεον καὶ συμπάθειαν. εὑρὼν οὖν ὑδροβόου ἀνεωγότα οὐκ εἰς βάθος ἀλλ' ἐπιπολῆς, καὶ ὑποδὺς εἰς τοῦτον κατεκρύβην. ἔτι σοι ταῦτα τρέμων καὶ παλλόμενος λέγω. ἑωσφόρου δὲ ἀνασχόντος, τῶν μὲν οὐκ ἠσθόμην, οὐκ ἔθ' ὑλακτούντων, οἴκοι γὰρ πάντως ἐδέδεντο· αὐτὸς δὲ εἰς Πειραιᾶ δραμὼν, νηὶ Σικελικῇ λύειν μελλούσῃ τὰ πρυμνήσια περιτυχὼν, ἀπεδόμην τῷ ναυκλήρῳ τὴν προχόην. καὶ νῦν τὸ τίμημα ἔχων νένασμαι τοῖς κέρμασι, καὶ νεόπλουτος ἐπανελήλυθα. καὶ τοσοῦτον ῥιπίζομαι ταῖς ἐλ-

nes autem ædium cuſtodes derepente circumfuſi alius aliunde, fævi & graviter latrantes imminebant, Moloſſi & Cnoſſii, à quibus nihil prohibebat, quin, quaſi offendiſſem Dianam, diſcerptus fuiſſem in medio, ita ut ne extremæ quidem partes in ſequentem diem relictæ fuiſſent ad ſepulturam iis, qui parati ſunt ad miſericordiam & commiſerationem. Repertâ igitur foſſâ non alte ducta, ſed in ſuperficie, in hanc immerſus me occultavi. Adhuc tremens ac palpitans hæc tibi dico. Luciferô autem exortô, illos quidem haud ſentiebam, quia non amplius latrabant, domi enim utique alligati erant; ipſe autem in Piræum cucurri. cumque in navem Siculam incidiſſem, quæ jamjam retinacula ſolutura erat, vendidi nauclero gutturnium: atque nunc pretium habens refertus ſum nummis, & novitius poſſeſſor divitiarum redii: ac in tantum excitor ſpe, ut cupiam aſſentatores alere,

πίσιν, ὡς ἐπιθυμεῖν κόλακας τρέφειν, καὶ κεχρῆσθαι παρασίτοις, οὐ παρασιτεῖν αὐτός. ἀλλ' ἢν τουτὶ τὸ πορισθὲν ἀργύριον ἀπαναλώσω, πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐπιτήδευσιν τρέψομαι. οὔτε γὰρ κύων σκυτοτραγεῖν μαθοῦσα τῆς τέχνης ἐπιλήσεται.

ΕΦΕΛΟΓΛΥΠΤΗΣ ΜΑΠΠΑΦΑΣΙΩι.

ΚΑκὸς κακῶς ἀπόλοιτο καὶ ἄφωνος ἔιη Λικύμνιος, ὁ τῆς τραγῳδίας ὑποκριτής. ὡς γὰρ ἐνίκα τοὺς ἀντιτέχνους Κριτίαν τὸν Κλεωναῖον, καὶ Ἵππασον τὸν Ἀμβρακιώτην τοὺς Αἰσχύλου προπομποὺς, τορῷ τινὶ καὶ γεγωνοτέρῳ φρονήματι χρησάμενος, γαῦρος ἦν, καὶ κιττοσεφὴς ἦγε συμπόσιον. ἔνθα παρληφθεὶς, φεῦ τῶν κακῶν οἷα ὑπέμεινα, τοῦτο μὲν, πιττούμενος τὴν κεφαλὴν, καὶ γάρῳ

& adhibere paraſitos: non ipſe paraſitari. Sed ſi hanc acquiſitam pecuniam abſumpſero, rurſus ad priſtinum inſtitutum me convertam. Neque enim canis qui corium rodere didicit, artis obliviſcetur.

NEPHELOGLYPTES MAPPAPHASIO. XLVIII.

MAlus malè pereat & mutus ſit Licymnius ille tragicus hiſtrio. cùm enim viciſſet æmulos, Critiam Cleonæum, & Hippaſum Ambraciotam, in Propompis Æſchyli, ſonorâ & clariore voce uſus; exſultabat, & hederâ redimitus agitabat convivium. ubi ego adhibitus, hem mala quæ perpeſſus ſum! partim dum mihi caput occillabatur, & muriâ oculi conſpergebantur: partim dum loco placentæ, cæteris

τοὺς ὀφθαλμοὺς ῥαινόμενος· τοῦτο δὲ, ἀντὶ πλακοῦντος, τῶν ἄλλων ἄμητας ἐσθιόντων καὶ σησαμοῦντας, αὐτὸς μέλιτι δεδευμένους λίθους ἀπέτρωγον. ἡ πασῶν δὲ ἰταμωτάτη, τὸ ἐκ Κεραμεικοῦ πορνίδιον, ἡ μέτοικος, ἡ Φενεάτις Υακινθὶς, κύστιν αἵματος πληράσασα, καταφέρει μου τῆς κεφαλῆς. καὶ ὁμοῦ τῷ κτύπῳ λελούμην τῷ αἵματι. καὶ τῶν μὲν ἐυωχουμένων, πολὺς καὶ καπυρὸς ἐξεχύθη γέλως· ἐγὼ δὲ ὧν ἔπαθον, μισθὸν οὐκ ἀπηνεγκάμην ἄξιον, ἀλλά μοι γέγονε τῶν ὕβρεων ἀμοιβὴ τὸ μέτρον τῆς γαστρὸς, πέρα δὲ οὐδέν. μή τε οὖν ἐς νέωτα ἔιη, μή τε μὴ βιώη ὁ θεοῖς ἐχθρὸς Λικύμνιος. ὃν ἐγὼ τῆς ἀχαρίστου φωνῆς ἕνεκα, ὀρθοκέρυζον καλεῖσθαι πρὸς ἡμῶν καὶ τοῦ χοροῦ τῶν Διονυσοκολάκων ἔκρινα. Ἔρρωσο.

scriblitas lacte factas comedentibus & dulciaria cum seſamo, ego melle imbutos lapides rodebam. At omnium petulantiſſima illa ex Ceramico meretricula, hujus loci inquilina, illa Pheneatica Hyacinthis, veſicam ſanguine repletam illidebat mihi in caput: & ſimul cum ſonitu lotus eram ſanguine. atque illis quidem epulantibus uberrimus & effuſiſſimus excitatus eſt riſus. ego autem pro iis quæ paſſus ſum mercedem non abſtuli dignam: ſed mihi fuit contumeliarum compenſatio pro menſura ventris, ulterius autem nihil. Neque igitur perennet neque vivat diis inimicus ille Licymnius. quem ego propter inſuavem illam vocem, Orthocorydum vocandum eſſe à nobis, & à grege theatralium, ſtatui. Vale.

ΚΑΠΝΟΣΦΡΑΝΤΗΣ ΑΡΙΣΤΟΜΑΧΩι.

Ὦ δαῖμον ὅς με κεκλήρωσαι καὶ ἔλαχας, ὡς πονηρὸς εἶ, καὶ λυπεῖς ἀεὶ τῇ πενίᾳ συνδέων. ἦν γὰρ ἀπορίᾳ τοῦ καλοῦντος γένηται, ἀνάγκη με σκάνδικας ἐσθίειν καὶ τήθεα, ἢ πόας ἀναλέγειν, καὶ τῆς Ἐννεακρούνου πίνοντα πίμπλασθαι τὴν γαστέρα. εἶτα ἕως μὲν τὰς ὕβρεις τὸ σῶμα ὑπέμενε, καὶ ἦν ἐν ὥρᾳ τοῦ πάσχειν νεότητι καὶ ἀκμῇ νευρούμενον, φορητὴ ἡ ὕβρις. ἐπειδὴ δὲ τὸ λοιπὸν ἐγώ σοι μεσαιπόλιος, καὶ τὸ λειπόμενον τοῦ βίου πρὸς γῆρας ὁρᾷ, τίς ἴασις τῶν κακῶν; Ἁλιαρτίου σχοινίου χρεία, καὶ κρεμήσομαι πρὸ τοῦ Διπύλου, ἢν μή τι δεξιὸν ἡ τύχη βουλεύσηται. εἰ δὲ καὶ τοῖς αὐτοῖς ἐπιμένειεν, οὐ πρότερον στραγγαλίσω τὸν τράχηλον, πρὶν τραπέζης ἀπολαῦσαι

CAPNOSPHRANTES ARISTOMACHO. XLIX.

O Dæmon qui me ſortitus es & ſorte adeptus, quàm malignus es & mihi moleſtus, ſemper paupertati me adſtringens. Si enim nemo ſit qui me accerſat, neceſſe eſt ut olus ſylveſtre comedam & conchas, aut herbas legam: atque ex Enneacruno bibens ventrem expleam. Porro, quamdiu injurias hoc corpus ferre poterat, & erat in ætate idonea ad patiendum, juventâ & vigore nervoſum, tolerabilis erat contumelia. ſed poſtquam ego jam ſemicanus, quodque reliquum eſt vitæ ad ſenectutem ſpectat; quid remedii malorum? Haliartio fune opus: & pendebo ante Dipylum, niſi aliquid boni Fortuna cogitaverit. quòd ſi etiam in eodem ſtatu manſerit, non ſtrangulabo collum, priusquam opi-

πο-

πολυτελοῦς. οὐκ εἰς μακρὸν δὲ ὁ περίβλεπτος οὗτος καὶ ἀοίδιμος γάμος Χαριτοῦς καὶ Λεωκράτους μετὰ τὴν ἔνην καὶ νέαν τοῦ Πυανεψιῶνος, εἰς ὃν πάντως ἢ παρὰ τὴν πρώτην ἡμέραν, ἢ τοῖς ἐπαυλίοις κεκλήσομαι. δεῖ γὰρ θυμηδίας καὶ παρασίτων τοῖς γάμοις, καὶ ἄνευ ἡμῶν ἀνέορτα πάντα, καὶ συῶν οὐκ ἀνθρώπων πανήγυρις.

BOTKOΠΝΙ'ΚΤΗΣ Α'ΝΤΟΠΙ'ΚΤΗι.

Ο'Υκ ἀνέχομαι ὁρῶν Ζευξίππην τὴν Ἱππόπορνον ἀπηνῶς τῷ μειρακίῳ χρωμένην. οὐ γὰρ δαπανᾶται εἰς αὐτὴν χρυσίον μόνον καὶ ἀργύριον, ἀλλ' ἤδη καὶ συνοικίαι καὶ ἀγροί. ἡ δὲ ἐπὶ πλέον ἐκτύφεσθαι τὸν ἔρωτα τούτῳ μηχανωμένη, τοῦ Εὐβοέως ἐρᾷν προσποιεῖται, τοῦ νεανίσκου, ἵνα καὶ

param menſam adeptus fuero. non ita diu autem erunt iſtæ illuſtres & celebres nuptiæ Charitûs & Leocratis, nempe poſt Novilunium Pyanepſionis menſis: ad quas utique aut primo die, aut ad repotia vocabor. opus habent enim oblectamentis animi, & Paraſitis nuptiæ: & ſine nobis omnia feſtivitatis expertia; & porcorum non hominum cœtus.

BUCOPNICTES ANTOPICTÆ. L.

NOn poſſum pati cùm video Zeuxippen, illud immane ſcortum, tam inclementer illum adoleſcentem tractare. non enim impendit in eam aurum modò & argentum, ſed jam & integras ædes atque agros. illa autem adhuc magis incendere amorem ei ſtudens, Eubœenſem amare ſe ſimulat, illum adoleſcentem, ut hujus etiam

τούτου σπαθήσασα, ἐπ' ἄλλον τρέψῃ τὸν ἔρωτα. ἐγὼ δὲ ὀδυνῶμαι τὴν καρδίαν, ὁρῶν ὑποῤῥέοντα τοσοῦτον πλοῦτον, ὃν οἱ μακαρίται αὐτῷ Λυσίας καὶ Φανοστράτη κατέλιπον. ἃ γὰρ ἐκεῖνοι κατ' ὀβολὸν συνήγαγον, ἀθρόως ἀναλοῖ τὸ πολύκοινον τοῦτο καὶ ἀισχρότατον γύναιον. πάσχω μὲν οὖν τι καὶ ἐπὶ τῷ μειρακίῳ. κύριος γὰρ γενόμενος τῆς οὐσίας, πολλὴν τὴν εἰς ἡμᾶς Φιλανθρωπίαν ἀνεδείξατο. ὁρῶ δὲ καὶ τὰ ἡμέτερα σκάζοντα. εἰ γὰρ εἰς ταύτην ἅπαντα τεθείη τὰ προσόντα τούτῳ τῷ βελτίστῳ, καλῶς, ὦ θεοὶ, καλῶς ἀπολαύσομεν τῆς πλησμονῆς. ἔστι γὰρ ὡς οἶσθα ἁπλοϊκὸς ὁ Φίλιππος, καὶ πρὸς ἡμᾶς τοὺς παρασίτους ἐπιεικὴς καὶ μέτριος τὸν τρόπον, ᾠδαῖς μᾶλλον καὶ γέλωτι, ἢ ταῖς εἰς ἡμᾶς ὕβρεσι θελγόμενος.

bonis consumptis aliò convertat amorem. ego verò crucior corde, cùm video effluere tantas opes, quas ei Lysias & Phanostrata, beatæ memoriæ, reliquerunt. Quæ enim illi unciatim collegerunt, simul omnia absumit vulgatissima illa & fœdissima muliercula. Afficior equidem nonnihil etiam ob adolescentem: dominus enim factus opum, multam erga nos humànitatem ostendit; video autem & nostra *negotia* claudicare. si enim in hanc omnia transferantur quæ penes optimum illum sunt; egregiè, ô dii, egregriè fruemur saginâ. Est enim, ut nosti, simplex Philebus, & erga nos parasitos mitibus ac commodis moribus utens: cantilenis potius & joco, quàm contumeliâ nobis faciendâ delectari solitus.

ΛΑΙΜΟΚΤΊΚΛΩι ΨΙΚΛΕΟΛΟΊΒΗ.

Ἰδοὺ μετὰ τὸν Εὐρώταν καὶ τὸ Λερναῖον ὕδωρ, καὶ τὰ Πειρήνης νάματα, ἐρῶν τῆς Καλλιῤῥόης, ἐκ Κορίνθου πάλιν Ἀθήνας κατεπείγομαι. οὐ γάρ με τῶν τρυφημάτων τῶν ἐν τούτοις οὐδὲν ἥρεσεν. ἀλλ' ἕτοιμος ἐνθένδε ἀποσοβεῖν, καὶ σπεύδειν ὡς ἡμᾶς. ἀχάριστοι γὰρ ὤφθησαν οἵδε, καὶ ἥκιστα συμποτικοί. καὶ πλείους παρ' αὐτοῖς αἱ παροινίαι τῶν ἀπολαύσεων. ὡς ἄμεινον ἐμοὶ ὀλύνθους ἢ παλάθας ἐπιμασᾶσθαι τῶν Ἀττικῶν, ἢ τὸ παρὰ τούτοις χρυσίον ἀποδρύπτεσθαι. οἶκ γὰρ καὶ νευρογεῖν ἐπιχειροῦσιν, ἀναγκάζοντες ἀσκωλιάζοντας πίνειν. διάπυρόν τε οἶνον καὶ θερμὸν ἄνευ τοῦ πρὸς ὕδωρ κράματος καταχέοντες. εἶτ' ὀξέα, κῶλά τε καὶ ἀστραγάλους καθάπερ τοῖς κυσὶ παραῤῥιπτοῦντες. καὶ νάρθηκας ἐπιῤῥηγνῦντες. καὶ σκύτεσι καὶ τοῖς ἄλλοις ἰμᾶσιν

LÆMOCYCLUS IPHICREO-LABÆ. LI.

ECce poſt Eurotam, & Lernæam aquam, & Pirenes fluenta, amans Callirhoën, Corintho rurſus Athenas pergo. non enim mihi ex deliciis horum locorum quidquam placuit. ſed paratus ſum hinc faceſſere & ad vos properare. ingrati enim viſi ſunt iſti, & minimè idonei convivatores: & plus contumeliarum in vino apud ipſos quàm voluptatis. quare ſatius eſt groſſos & caricas manducare Atticas, quàm propter iſtorum aurum lancinari. Qualia enim novare inceptant! cogentes uno pede ſaltantem bibere: & ardens vinum ſine admixtione aquæ affundentes: deinde oſſa & pedes atque talos quaſi canibus projicientes: & ferulas infringentes: &

ἀντὶ παιδιᾶς πλήττοντες. ἐμοὶ γένοιτο πρόμαχε Ἀθηνᾶ καὶ πολιοῦχε τοῦ ἄστεος, Ἀθήνησι καὶ ζῆσαι, καὶ τὸν βίον ἀπολιπεῖν. ἄμεινον γὰρ πρὸ τῆς Διομήδους πύλης ἢ πρὸ τῶν Ἱππάδων ἐκτάδην πατεῖσθαι νεκρὸν τύμβου περιχυθέντος, ἢ τῆς Πελοποννήσου εὐδαιμονίας ἀνέχεσθαι.

ΚΟΠΑΔΙΩΝ ΕΥΤΗΝΙΣΣΩι.

Οὐτ μοι μέλει. ποιούντων ὅσα καὶ βούλονται ῥιψοκίνδυνοι Γρόνθων καὶ Σαρδανάπαλος. ἐμὲ γὰρ κοινωνῆσαι τῆς ἀτόπου πράξεως ἀδύνατον. οὐδὲ εἰ μάντευμά μοι ἐκ τῆς Δωδωνάιας δρυὸς ἐπιτρέπει τὴν πρᾶξιν, ὡς ἔξιν ἐργάζεσθαι χρηστή. φύεται γὰρ σπανίως καὶ ἐν παισὶ τὸ χρηστὸν καὶ πιστὸν ἦθος· καὶ ὑγιές. πάντως οὖν ἀΦεκτέον. ὑποπειρῶσι γὰρ τὴν παλλακὴν τοῦ τῆς οἰκίας δεσπότου. καὶ

scuticis aliisque loris pro joco percutientes. Mihi contingat ô Propugnatrix Minerva urbisque Præses, Athenis & vivere & vitam relinquere. præstat enim ante Diometidem portam, aut ante Hippadas, porrectim *jacentem* calcari mortuum, tumulo circumfuso, quàm Peloponnesi felicitatem tolerare.

COPADION EVENISSO. LII.

NIhil curo. faciant quicquid volent temerarii illi, Gronthon & Sardanapalus. ego enim socius esse facinorosi incepti non possum: nec si oraculum mihi ex Dodonea quercu demandet negotium, tanquam factu sit utile. provenit enim rarò in pueris frugale & fidum ingenium atque sanum. utique ergo abstinendum. Tentant

ἤδη αὐτοῖς ἡ πρᾶξις εἰς τὴν ἀρχὴν προκεχώρηκε. καὶ οὐκ ἀρκοῦνται τῇ τῶν ἀφροδισίων ἀθέσμῳ πλησμονῇ. ἀλλὰ γὰρ τὰ ἐκ τῆς οἰκίας σκεύη καθ' ἓν ὡς ἐπέμφορα λαμβάνουσι. καὶ ἴσως μὲν ἄχρι τινὸς λήσεται τοῦργον πραττόμενον. πάντως δέ ποτε ἡ λάλος γείτων ἢ ψίθυρος οἰκέτης ἀγορεύσει τὸ πρᾶγμα εἰ τοὐμφανές. καὶ ἀνάγκη μετὰ πῦρ καὶ σίδηρον καὶ τὰς πολλὰς βασάνους, τέλος αὐτοῖς γενέσθαι τὸ κώνειον ἢ τὸ βάραθρον. ἀφειδῶς γὰρ χρώμενοι τῷ τολμήματι, ἰσόῤῥοπον τῇ πράξει τὴν τιμωρίαν ἐκτίσουσι.

enim ſtupri causâ pellicem patriſfamilias: atque jam eis res ad ſummum proceſſit, nec contenti ſunt Veneris inceſto uſu ſatiari; ſed inſuper ex domo ſupellectilem ſingulatim ad exportandum tollunt. ac fortaſſe quidem aliquandiu celabuntur hæc facta: utique autem tandem aut loquax vicinus, aut ſuſurrator ſervus enunciabit negotium palam: & neceſſe erit, poſt ignem & ferrum & multa tormenta, finem eis obtingere cicutam aut barathrum. naviter enim urgentes hoc audax inſtitutum, æqualem facinori pœnam expendent.

Α'ΚΡΑΤΟΛΥ'ΜΑ ΣΧΩΝΕΙΚΡΑ'ΤΩι.

Χθὲς Καρίωνος περὶ τὸ φρέαρ ἀσχολουμένου εἰσέφρησα εἰς τοὐπτάνιον. εἶτα εὑρὼν λοπάδα εὖ μάλα κεκαρυκευμένην, καὶ ἀλεκτρυόνα ὀπτὸν, καὶ χύτραν μεμβράδας ἔχουσαν, καὶ ἀφύας μαγειρικὰς, ἐξήρπασα· καὶ ἀποπηδήσας, ποῖ καταχθείην ἐζήτουν, καὶ εὐκαίρως μόνος ἂν φάγοιμι. ἀπορίᾳ δὲ τόπου δραμὼν ἐπὶ τὴν Ποικίλην· καὶ γὰρ οὐκ ἠνόχλει ταύτην οὐδὲ εἷς τῶν ἀδολέσχων τουτωνὶ φιλοσόφων· κεῖθι τῶν πόνων ἀπήλαυον. ἀνανεύσας δὲ τῆς λοπάδος, ὁρῶ προσιόντα τῶν ἀπὸ τῆς Τιλίας τινὰ νεανίσκων. καὶ δείσας, τὰ μὲν βρώματα ὄπιθεν ἀπεθέμην, αὐτὸς δὲ εἰς τοὔδαφος ἐκείμην κρύπτων τὰ κλέμματα. καὶ ἠνχόμην τοῖς ἀποτροπαίοις παρελθεῖν τὸ νέφος, ὑποσχόμενος λιβανωτοῦ χόνδρους, οὓς οἶκοι, ἀναλεξάμενος τῶν

ACRATOLYMAS CHONICRATO. LIII.

HEri Carione circa puteum occupato, intuli me in culinam. deinde cùm inveniſſem patinam condimentis exquiſitis refertam, & gallum gallinaceum aſſum, & ollam membradas habentem atque apuas Phalericas, rapui: & exſiliens, quærebam quo diverterer, & commodè ſolus comederem. cum autem non daretur locus, cucurri in Pœcilam, etenim nemo eam infeſtabat ex nugacibus iſtis philoſophis: *atque* ibi laboribus meis fruebar. ſuſpectans autem à patina, video accedere quendam ex adoleſcentibus tabulam luſoriam frequentantibus: ac territus, cibos quidem poſt tergum collocabam, ipſe autem humi cumbebam, occultans furta: & precabar deos Averruncatores, ut tranſiret hæc nubes, pro-

ἱερῶν, ἔχω, εὖ μάλα ἐυρωτιῶντας, καὶ οὐκ ἠσόχησα. οἱ θεοὶ γὰρ αὐτὸν ἄλλην ὁδὸν ἔτρεψαν. κἀγὼ σπευδῇ καταβροχθίσας πάντ' ὅσα ἐνέκειτο τοῖς σκεύεσι, φίλῳ πανδοκεῖ τὴν λοπάδα καὶ τὸ χυτρίδιον, τὰ λείψανα τῶν κλεμμάτων, χάρισμα δοὺς, ἀπεχάρησα, ἐπιεικής τις καὶ μέτριος ἐκ τῶν δωρημάτων ἀναφανείς.

ΧΤΤΡΟΛΕΙΚΤΗΣ ΠΑΤΕΛΛΟΧΑΡΟΝΤΙ.

Τί δακρύεις; ἴσως ἐρήσῃ με. ἢ πόθεν κατέαγα τὸ κρανίον, ἢ πῶς τὸ ἀνθηρὸν τοῦτο εἰς μέρη κατερρῳγὸς ἱμάτιον φορῶ; ἐνίκησα κυβεύων, ὡς μή ποτ' ὄφελον. τί γὰρ ἔδει με ἀσθενέστερον ὄντα ῥωμαλέοις συνεξετάζεσθαι νεανίαις; ἐπεὶ γὰρ εἰς ἐμαυτὸν ὅλας τὰς ἐκθέσεις συνελεξάμην, ἀπορία δὲ

mittens eis thuris micas quas domi, in templis collectas, habeo, satis carioſas: nec fruſtra fui; dii enim eum in aliam viam verterunt. atque ego confeſtim deglutiens omnia quæ inerant in vaſis, amico cauponi patinam & ollulam & reliquias furti donavi, & abii: bonus homo & commodus propter dona viſus.

CHYTROLICTES PATELLO-CHARONTI. LIV.

QUid fles? fortaſſe interrogabis me. aut unde caput fractum habeam? aut quomodo variam hanc in partes disruptam veſtem geram? Vici, aleam ludendo. quòd utinam nunquam debuiſſem! Quid enim opus erat me infirmiorem, cum robuſtis contendere adoleſcentibus? Poſtquam enim ad meipſum translata omnia quæ

ἦν αὐτοῖς παντελῶς ἀργυρίου, ἐπ' ἐμὲ πάντες ὥρμησαν. καὶ οἱ μὲν πυξ ἔπαιον, ἄλλοι δὲ λίθοις ἐχρῶντο, οἱ δὲ διέσχιζον τὸ ἱμάτιον. ἐγὼ δὲ ἁπλῆξ εἶχόμην τῶν κερμάτων, ἀποθανεῖν πρότερον ἢ προέσθαι τι ἐκείνοις τῶν μοι πεπορισμένων αἱρούμενος. καὶ δὴ μέχρι τινὸς ἀντέσχον γεννάιως, καὶ τὰς Φορὰς τῶν πληγῶν ὑπομένων, καὶ τὰς ἐκστροφὰς τῶν δακτύλων ἀνεχόμενος, καὶ ἤμην οἷά τις Σπαρτιάτης ἀνὴρ ἐπὶ τοῦ βωμοῦ τῆς Πυθίας τυπτόμενος. ἀλλ' οὐκ ἦν Λακεδαίμων ἐν ᾗ ταῦτα ὑπέμενον, ἀλλ' Ἀθῆναι, καὶ τῶν Ἀθήνῃσι κυβευτῶν οἱ ἐξωλέστατοι. τέλος οὖν λειποθυμήσας, ἀφῆκα τοῖς ἐναγέσι λαμβάνειν. οἱ δὲ καὶ τὸ προκόλπιον διηρεύνησαν, καὶ τὰ ἐν τούτῳ ἐγκείμενα Φέροντες, ᾤχοντο. τοῦτο ἐμοῦ λάϊον ἡγησαμένου, τὸ ζῆν ἄνευ χρημάτων, ἢ μετὰ χρημάτων τεθνᾶναι.

depoſita erant collegeram, illi autem carebant planè argento; in me omnes impetum fecerunt: atque alii pugno cædebant, alii calcibus inſultabant, alii diſcindebant veſtem; ego autem tenaciter ſervabam pecuniam, mori prius quàm concedere illis quidquam eorum quæ mihi parta erant optans. & ſanè aliquandiu obſtiti fortiter, tum ictus plagarum tolerans, tum retorſiones digitorum ſuſtinens. & eram quaſi aliquis Spartanus qui ad aram Orthiæ verberatur. Sed non erat Lacedæmon in qua hæc patiebar; verùm Athenæ, & eorum qui Athenis ſunt aleatorum perditiſſimi. Tandem igitur animo defectus dimiſi impuris illis ut acciperent. illi verò & ſinum perſcrutati ſunt, & quæ in eo inerant ſumentes, abierunt. cùm iſtud ego meliùs *eſſe* exiſtimaſſem, nempe vivere ſine opibus, quàm cum opibus mori.

Α'ΥΤΟ'ΚΛΗΤΟΣ Ε'ΤΟΙΜΑΡΙ'ΣΤΩι.

Ὀλίγα ἢ οὐδὲν διαφέρουσι τῶν ἰδιωτῶν οἱ σεμνοὶ, καὶ τὸ καλὸν καὶ τὴν ἀρετὴν ἐξυμνοῦντες. τούτους λέγω τοὺς ἐργολαβοῦντας τὰ μειράκια. οἷον γὰρ οἷον ἔλαθέ σε συμπόσιον, Σκαμωνίδου γενέσια θυγατρὸς ἑορτάζοντος. καλέσας γὰρ ἔναγχος οὐκ ὀλίγους τῶν προὔχειν δοκούντων Α'θήνῃσι πλούτῳ καὶ γένει, ᾠήθη δεῖν καὶ τοῖς Φιλοσοφοῦσι κοσμῆσαι τὴν ἐυωχίαν. παρῆν οὖν ἐν τούτοις Εὐσκλῆς ὁ ϛωικὸς, οὗτος ὁ πρεσβύτης, ὁ κουρεῖων τὸ γένειον, ὁ ῥυπαρὸς, ὁ τὴν κεφαλὴν αὐχμηρὸς, ὁ γεγηρακὼς, ὁ ῥυσσότερον τῶν βαλαντίων ἔχων τὸ μέτωπον. παρῆν δὲ καὶ Θεμιϛαγόρας ὁ ἐκ τοῦ περιπάτου, ἀνὴρ οὐκ ἄχαρις ὀφθῆναι, εὖλῃ τῇ γενειάδι λαμπρυνόμενος. ἦν δὲ καὶ ὁ Ε'πικούρειος Ζηνοκρά-

AUTOCLETUS HETOEMARISTO. LV.

PArùm aut nihil differunt à plebejis graves quidam, & honeſtum ac virtutem celebrantes; iſtos dico qui pro ſuis nugis lucrum ex adoleſcentibus captant. Quale enim, quale te fugit convivium! Scamonide natalem filiæ celebrante. Cùm enim vocaſſet nuper non paucos ex iis, qui præſtare Athenis putantur opibus & genere, exiſtimavit faciendum eſſe, ut & philoſophis ornaret epulum. Aderat igitur in his Eteocles Stoicus, iſte ſenex, iſte cum barba tonſoris egente, ſordidatus, capite ſqualido, decrepitus, qui rugoſiorem crumenis habet frontem. Aderat verò & Themiſtagoras Peripateticus, vir haud invenuſtus adſpectu, qui criſpatâ barbæ lanugine decoratur. Erat autem *ibi* & Epicureus Zenocrates, cincinnos non incultos habens, & ipſe

τῆς, οὐκ ἀτιμέλητος τοὺς κιθάρους, καὶ αὐτὸς ὑπὸ βαθεῖ τῷ πώγωνι σεμνυνόμενος. ὅ, τε ἀοίδιμος; τοῦτο γὰρ πρὸς ἁπάντων ἐκαλεῖτο; Ἀρχίβιος ὁ Πυθαγορικὸς, ὤχρων ἐπὶ τοῦ προσώπου πολὺν ἐπιβεβλημένος, πλοκάμους ἀπὸ τῆς κεφαλῆς μέχρι στέρνων αὐτῶν αἰωρῶν, ὀξὺ καὶ μακρὸν καθεικὼς τὸ γένειον, τὴν ῥῖνα ἐπικαμπὴς, τὸ στόμα ἐπιχειλὴς, αὐτῷ τῷ πεπεῖσθαι καὶ λίαν μεμυκέναι, τὴν ἐχεμυθίαν ὑποσημαίνων. ἐξαίφνης δὲ καὶ ὁ Παγκράτης ὁ Κύων, ῥύμῃ τοὺς πολλοὺς παρωσάμενος, εἰσήρεσε, σελεῷ πρινίνῳ ἐπερειδόμενος. ἦν γὰρ ἀντὶ τοῦ πυκνώματος τῶν ὀζων, χαλκοῖς τισὶν ἥλοις ἐμπεπαρμένην Φέρων βακτηρίαν, καὶ τὴν πήραν διάκενον, καὶ πρὸς τὰ λείψανα ἐυζώνως ἠρτημένην. οἱ μὲν οὖν ἄλλοι ἀπ' ἀρχῆς εἰς τέλος παραπλησίαν τινὰ καὶ τὴν αὐτὴν εἶχον τῆς ἐστιάσεως τὴν ἀκο-

densâ barbâ venerandus: tum etiam Celeberrimus ille (id enim ab omnibus vocabatur) Archibius Pythagoricus, pallore multo in facie præditus; cæsariem à capite usque ad pectus ipsum suspensam habens, & acutam atque longè promissam barbam: nasum aduncum: labia compressa, eo ipso quia clausa essent, & valde coarctata, silentium *Pythagoricum* subindicans. Derepente autem & Pancrates Cynicus, cum impetu plerosque proturbans, irruit, stipite iligno innixus. erat enim ei, loco densitatis nodorum, æreis quibusdam clavis confixus baculus, gestamen, & pera, inanis atque ad reliquias *ciborum* expeditè suspensa. Equidem ceteri ab initio ad finem, æquabilem quendam & eundem tenebant vescendi ordinem; philosophi autem, procedente compotatione, & poculô amicitiæ assiduè circumactô, alius alias nugas

λουθίαν. οἱ Φιλόσοφοι δὲ, προϊόντος τοῦ συμποσίου, καὶ τῆς Φιλοτησίας συνεχῶς περισσοβουμένης, ἄλλος ἄλλην τερατείαν ἐπεδείξαντο. Εὐκλῆς γὰρ ὁ στωικὸς ὑπὸ γήρως καὶ πλησμονῆς ἐκτάδην κείμενος ἔρεγχεν. ὁ Πυθαγόρειος δὲ τὴν σιωπὴν λύσας, τῶν χρυσῶν ἐπῶν κατά τινα μουσικὴν ἁρμονίαν ἐτερέτιζεν. ὁ βέλτιστος δὲ Θεμισταγόρας, ἅτε τὴν εὐδαιμονίαν κατὰ τὸν τοῦ περιπάτου λόγον, οὐ ψυχῇ καὶ σώματι μόνον, ἀλλὰ καὶ τοῖς ἐκτὸς ὁριζόμενος, ἀπῄτει πλείονα πέμματα, καὶ ποικιλίαν τῶν ὄψων δαψιλῆ. Ζηνοκράτης δὲ ὁ Ἐπικούρειος τὴν ψάλτριαν ὡς αὐτὸν ἐνηγκαλίζετο, τακερὸν καὶ ὑγρὸν προσβλέπων ὑπομεμυκόσι τοῖς ὄμμασι, λέγων τοῦτο εἶναι τὸ τῆς σαρκὸς ἀόχλητον, καὶ τὴν καταπύκνωσιν τοῦ ἡδομένου. ὁ Κύων δὲ πρῶτα οὖρει κατὰ τὴν κυνικὴν ἀδιαφορίαν εἰς σύρμα χαλάσας καὶ καθεὶς τὸ τριβώνιον, ἔπειτα καὶ Δωρίδα

ostentabant. Eteocles quidem Stoicus, præ senio, & quia se nimis ingurgitaverat, porrectim jacens stertebat. Pythagoreus autem, silentio soluto, ex Aureis carminibus secundùm musicam quandam harmoniam cantillabat. Egregius autem ille Themistagoras, utpote felicitatem secundùm Peripateticas rationes, non in animo & corpore tantùm, verùm & in externis *bonis* definiens, poscebat plura bellaria, & varietatem opsoniorum dapsilem. Zenocrates autem Epicureus psalteriam ad se tractam amplexabatur, molliter & lascivè adspiciens paululum conniventibus oculis, dicens hanc esse carnis pacem, & condensationem voluptatis Cynicus autem primùm mejebat pro Cynica indifferentia, laxato & demisso, ut traheretur, palliastro: deinde Doridem cantricem poterat in conspectu omni-

τὴν μυσυργὸν, οἷς ἦν ἐν ὀφθαλμοῖς ἁπάντων ὁρώντων ἐνεργεῖν, φάσκων ἀρχὴν γενέσεως εἶναι τὴν φύσιν. ὥστε ἡμῶν τῶν παρασίτων οὐδεὶς ἐστι λόγος. τὸ γὰρ θέαμα καὶ τὴν θυμηδίαν παρεῖχεν οὐδεὶς τῶν εἰς τοῦτο κεκληρωμένων. καί τοιγε Φοιβιάδης ὁ κιθαρωδὸς, καὶ μῖμοι γελοίων οἱ περὶ Σαννυρίωνα καὶ Φιλισιάδην, οὐκ ἀπελείποντο. ἀλλὰ πάντα φροῦδα καὶ σὺκ ἀξιόθεα. εὐδοκίμει δὲ μόνος ὁ τῶν σοφιστῶν λῆρος.

ΘΑΜΒΟΦΑ'ΝΟΣ ΚΤΠΕΛΙΣΤΗι.

Ἐπαίρεις σεαυτὸν, οὐδὲν δέον. καὶ βαδίζεις ἴσα δὴ καὶ τύφου πλήρης εἶ, τοῦτο δὴ τὸ τοῦ λόγου, Πυθοκλεῖ· καὶ ἀποφέρῃ μερίδας τῶν ἀρίστων. οὐκοῦν τὰς σπυρίδας καθημέρων ἐξογκῶν σὺ μεγέθει λειψάνων: καθάπερ πρώην Ἀρπάδης ὁ γραμ-

bus videntibus inire, dicens principium generationis esse naturam. Atque ita parasitorum nulla habetur ratio. spectaculum enim & delectationem præbuit nemo eorum qui ad eam rem vocati erant. quamvis Phœbiades citharœdus, & histriones ridicularii Sannyrio & Philistiades non deessent. sed omnia in cassum, & spectatu non digna; clarebant autem solæ Sophistarum nugæ.

THYMBROPHAGUS CYPELLISTÆ. LVI.

EXtollis te, cùm nihil sit opus: & incedis pariter fastuque plenus es æquè, quod proverbiô dicitur, ac Pythocles; & *tamen* aufers portiones prandiorum. Ergo tu sportas quotidie implere grandibus reliquiis (quemadmodum

ματικὸς ἐποίει, Ὁ Ὁμήρου ὡς ἔφασκεν ἐπιλέγων σιχίδιον, ἀμηχάνως αὐτῷ πρὸς τὰς ἁρπαγὰς τῶν βρωμάτων ἡρμοσμένον, Καὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι: πέπαυσο. καταβαλε τὴν ἀλαζονείαν τρισάθλιε, ἢ ἀνάγκη σὲ γυμνὸν τῆς οἰκίας θύραζε ἐν ἀκαρεῖ χρόνου ἐκβληθέντα ἐκπεσεῖν.

ΟΙΝΟΛΑΛΟΣ ΠΟΤΗΡΟΦΛΥΑΡΩι.

ΟΤΤΚ εἰς δέον οἰνωμένος ἐσκωψάμην τὸν τροφέα τὸν νεανίσκου Ζώπυρον. ἐξ ἐκείνου γὰρ ἴσως διαβολῇ τυπεὶς τὰ ὦτα, περὶ τὰς δόσεις κατέσχηκε μικροπρεπέστερος, καὶ φειδωλῷ τῷ μέτρῳ κέχρηται. εἰωθὼς γὰρ ἐν ταῖς ἑορτασικαῖς τῶν ἡμερῶν, ἢ χιτώνιον ἢ τριβώνιον ἢ ἔφεδρίδα πέμπειν, ἔναγχος

nuper Harpades grammaticus faciebat, Homeri, ut ajebat, ad eam rem recitans verſiculum incredibiliter ejus rapacitati congruentem, oportere nimirum *Potare ac veſci, poſt hæc auferre ſimul quid.*) deſine: miſſamque fac iſtam inſolentiam, miſerrime; aut neceſſe eſt te nudum foras momento temporis ejectum, domo excidere.

OENOLALUS POTEROPHLYARO. LVII.

HAud opportunè potus, cavillis deriſi nutricium adoleſcentis, Zopyrum: Ex illo enim *tempore* fortaſſe criminatione verberatas habens aures, ad dandum redditus eſt minùs liberalis, & parcâ menſurâ utitur. Solitus enim feſtis diebus aut induſium aut palliaſtrum aut chlamydem

Κρονίων ἐνσάντων, Γ'Φικρατίδας μοι νευουργεῖς ἔπεμψε, τῷ Δρόμωνι δοὺς κομίζειν. ὁ δὲ ἐπὶ ταύταις ἐβρενθύετο, καὶ μισθοὺς τῆς διακονίας ἀπήτει. ἐγὼ δὲ δάκνομαι, καὶ τὴν προπετῆ γλῶτταν διαμασσῶμαι, καὶ ὀψὲ τῆς ἁμαρτίας αἰσθάνομαι. ὅταν γὰρ τὸ ῥεῦμα τῶν λόγων μὴ καθηγουμένης τῆς διανοίας φέρηται, τότε σφάλλεσθαι τὴν γλῶτταν ἀνάγκη. Ἔρρωσο.

Λ'ΑΟΚΥ'ΜΗΝΟΣ ΦΙΛΟΝΑΕΛΑΔΙ'Ωι.

Οὐδὲν πρωτιμῶ σου, κἂν ἀπειλῇς ψιθυριεῖν κατ' ἐμοῦ, καὶ καττύεις διαβολὰς ἀγγεννήτους. ἁπλοϊκὸς γὰρ καὶ γενναῖος ὁ Γλιεὺς στρατιώτης ὁ βόσκων ἡμᾶς. τὰ νῦν δὲ ταῦτα, καὶ τοσοῦτον ἀπέχει τοῦ ζηλοτυπεῖν τὰς ἑορτὰς, ὡς πρώην λόγου

mittere, nuper cùm Saturnalia adeſſent, *calceos* Iphicraticos mihi recens factos miſit, quos Dromoni dederat ferendos. Iſte autem propterea fremebat, & mercedem miniſterii poſcebat. ego verò mordeor, & procacem hanc linguam rodo, ſeroque peccatum ſentio. Quando enim flumen verborum absque præeunte cogitatione fertur, tunc hallucinari linguam neceſſe eſt. Vale.

ALOCUMINUS PHILONAELADIO. LVIII.

NIhil curo te, etiamſi mineris te ſuſurraturum de me, & conſuas criminationes illiberales. Simplex enim eſt & generoſus Ilienſis ille miles qui nos paſcit. nunc autem tantum abeſt ut zelotypus ſit amantibus, ut nuper cùm

ῥυέντος αὐτῷ ἐπὶ τοῦ συμποσίου, πολλὴν κατέχεε βλασφημίαν τῶν τὰ τοιαῦτα ὑπομενόντων. ἔλεγεν γὰρ γαμεταῖς ἐπικλήροις δικυρίαις πρέπειν καὶ τὸν σεμνὸν βίον. τὰς ἑταίρας δὲ δεῖ εἶναι πάντων ἀναφανδόν, καὶ πᾶσιν ἐκκεῖσθαι τοῖς βουλομένοις· ὅνπερ οὖν τρόπον τοῖς λουτροῖς καὶ τοῖς σκεύεσι κοινοῖς κεχρήμεθα, καὶ ἑνὸς εἶναι δοκεῖ, οὕτω καὶ ταῖς εἰς τοῦτον ἀπογραψαμέναις τὸν βίον. εἰδὼς οὖν τηνάλλως τὴν διαβολήν σου χωρήσουσαν, τρέμω ἐνδακὼν τὸ χεῖλος, ὡς οἱ τὸν σιγηλὸν Ἥρω παριόντες, μὴ κακόν τι προσλάβωμαι. οὐ γάρ ἐστι τῶν Ἀττικῶν τούτων εἷς τῶν χαύνων μειρακίων, ἀλλ' ἀνὴρ ὁπλομάχος καὶ ἀρηΐος, παρ' ᾧ κολακεία καὶ διαβολῆς τρόπος ἔῤῥει. ἀνάγκη δὲ τὸν μὴ διαβολὰς προσιέμενον, τοῖς διαβάλλουσιν ἀπεχθάνεσθαι.

sermo ei manasset in convivio, multa effunderet maledicta in eos qui talibus afficiuntur. dicebat enim, nuptas dotatas decere domûs custodiam & castam atque sanctam vitam; meretrices autem debere esse omnibus in propatulo, & cunctis expositas volentibus. quemadmodum igitur lavacris & porticibus communibus uti solemus, etiamsi unius esse videantur: ita & his, quæ nomen suum dederunt in hanc vivendi conditionem. Cùm igitur sciam in vanum criminationem tuam abituram; non tremo, labrum mordens, ut illi qui taciturnum Heroëm prætereunt, ne malum accipiam. non enim est unus ex Atticis istis fastu turgidis adolescentibus, sed vir arma belli tractans & Martius. apud quem assentatio & obtrectatorum mores frustra sunt. Necesse est autem eum qui obtrectationes non admittit, obtrectatoribus esse infensum.

ΛΙΜΕ'ΝΤΕΡΟΣ Α'ΜΑΣΗ'ΤΩι.

ΠΑρ' ἕνα τῶν τὰ πινάκια παρὰ τὸ Ἰακχεῖον προτιθέντων, καὶ τοὺς ὀνείρους ὑποκρίνεσθαι ὑπισχνουμένων βούλομαι ἐλθὼν, τὰς δύο ταύτας δραχμὰς, ἃς οἶσθά με ἐν χερσὶν ἔχοντα, καταβαλὼν, τὴν Φανεῖσαν ὄψιν μοι κατὰ τοὺς ὕπνους διηγήσασθαι. οὐ χεῖρον δὲ καὶ πρὸς σὲ ὡς φίλον ἀναθέσθαι τὸ καινὸν τοῦτο καὶ πέρα πάσης πίστεως φάσμα. ἐδόκουν γὰρ κατ' ὄναρ ἐυπρεπὴς εἶναι νεανίσκος, καὶ οὐχ ὁ τυχὼν, ἀλλ' ἐκεῖνος (εἶναι) ὁ Ἰλιεὺς ὁ περίψεκτος καὶ περικάλλιστος, ὁ τοῦ Τρωὸς παῖς Γανυμήδης· καὶ καλαύροπα ἔχειν καὶ σύριγγα· καὶ τιάρᾳ Φρυγίῳ σέφειν τὴν κεφαλὴν, ποιμάινειν τε, καὶ εἶναι κατὰ τὴν Ἴδην. ἐξαίφνης δὲ ἐπιπτάντα μοι γαμψώνυχα καὶ μέγαν ἀετὸν, γορ-

LIMENTERUS AMASETO. LIX.

AD aliquem ex istis qui tabellas apud Iacchi fanum proponunt, & somniorum conjectionem promittunt, volo profectus, duabus istis drachmis, quas scis me in manibus habere, depositis, quod mihi apparuit visum per somnos, narrare. non abs re autem fuerit & tecum communicare novum istud & ultra fidem excedens ostentum. Videbar enim per somnum formosus esse adolescens, nec vulgaris aliquis, sed ille Ilienſis, ille dilectus & pulcherrimus, Trois filius Ganymedes: & pedum habere ac fistulam, & tiarâ Phrygiâ redimire caput, ovesque pascere, & esse in Ida; subitò autem advolasse in me, curvis unguibus præditam, & magnam aquilam, torvo adspectu, & aduncô rostrô: quæ me levatum unguibus, à petra ubi

γὸν

ἐγὼ τὸ βλέμμα, καὶ ἀγκυλοχείλην τὸ σῶμα, κυφίσαντά με τοῖς ὄνυξιν, ἀφ' οὗπερ ἐκαθήμην πέτρου μετεωρίζειν εἰς τὸν ἀέρα, καὶ πελάζειν τοῖς οὐρανίοις τόποις ἐπειγόμενον· εἶτα μέλλοντα τότε ψαύειν τῶν πυλῶν αἷς αἱ Ὧραι ἐφεστᾶσι, κεραυνῷ βληθέντα πεσεῖν. καὶ τὸν ὄρνιν οὐκέτι τὸν διοπετῆ τὸν μέγαν εἶναι ἀετὸν, γῦπα δὲ, πικρὸν ἐδωδότα, ἐμὲ δὲ τοῦτον, ὅς εἰμι, Λιμέντερον, γυμνὸν πάσης ἐσθῆτος, οἷα πρὸς λουτρὸν ἢ παλαίστρην ἠυτρεπισμένον. ἐκταρχθεὶς οὖν, ὡς εἰκὸς, ἐπὶ τοσούτῳ πτώματι, ἐξηγειρόμην, καὶ πρὸς τὸ παράδοξον τῆς ὄψεως ἀγωνιῶ, καὶ δέομαι, οἷον φέρει τὸ ὄναρ, μαθεῖν παρὰ τῶν τοιαῦτα ἀκριβούντων, εἰ μέλλοι τις ἀπλανῶς εἰδέναι, καὶ εἰδὼς ἀληθίζεσθαι.

sedebam, sublimem tolleret in auras, & admoveret cœlestibus locis cum festinatione: deinde cùm deberem jam tangere portas quibus Horæ præpositæ sunt, fulmine ictum *me* cecidisse: atque avem eam, non amplius esse illam cœlitus lapsam magnamque aquilam, sed vulturem acerbè olentem: me verò *esse* hunc ipsum Limenterum qui sum, nudatum omni veste, quasi ad lavacrum aut palæstram paratum. Exturbatus igitur, ut credibile est, super tanto lapsu, expergiscebar: & ad hoc mirabile visum trepido: atque debeo, quid portendat insomnium, discere ab iis qui talia pensitant; si possit quis indubitatè scire: &, ubi sciverit, verum dicere.

ΧΑΣΚΟΒΟΤ'ΚΗΣ Τ'ΠΝΟΤΡΑΠΕ'ΖΩι.

Οὔτε ἔτι εἰσῆλθον εἰς τὴν Κόρινθον. ἔγνων γὰρ ἐν βραχεῖ τὴν βδελυρίαν τῶν ἐκεῖσε πλουσίων, καὶ τὴν πενήτων ἀθλιότητα. ὡς γὰρ ἐλούσαντο οἱ πολλοὶ, καὶ μεσοῦσα ἡμέρα ἦν, σωμύλους ἐθεασάμην καὶ εὐφυεῖς νεανίσκους, οὐ περὶ τὰς οἰκίας, ἀλλὰ περὶ τὸ Κράνιον ἀλωμένους, καὶ οὗ μάλιστα ταῖς ἀρτοπώλισι, καὶ ὀπωροκαπήλοις ἔθος ἀναστρέφειν. ἐνταυθοῖ γὰρ εἰς τοὔδαφος ἐπικύπτοντες, ὁ μὲν φλοιοὺς θέρμων ἀνῃρεῖτο, ὁ δὲ ἔλυτρα τῶν καρύων ἐπολυπραγμόνει, μή που τι τῶν ἐδωδίμων ἀπομεῖναν διέλαθεν, ὁ δὲ τῶν ῥοιῶν τὰ περικάρπια, ἃ σίδια ἡμῖν τοῖς Ἀττικοῖς προσαγορεύειν ἔθος, ἀπέγλυφε τοῖς ὄνυξιν, εἴ που τὶ τῶν κόκκων ἐπιδράξασθαι δυνηθείη· οἱ δὲ καὶ τὰ ἐκ τῶν ἄρτων ἀποπίπτοντα πρὸς πολλῶν ἤδη πεπατημένα ἀνα-

CHASCOBUCES HYPNOTRAPEZO. LX.

NOn amplius intravi Corinthum. cognovi enim brevi fordes divitum illius loci, & pauperum miseriam. ut enim loti erant plerique, & meridies erat, lepidos vidi ac facetos adolescentes, non circa domos, sed circa Cranium vagantes, & ubi potissimum panariæ solent ac pomariæ versari. isthic enim humum proni spectantes, alius cortices lupinorum tollebat, alius putamina nucum rimabatur si quid edibile intus relictum latuisset, alius malicoria, quæ cicca nobis appellare in more est, scalpebat unguibus, sicubi quid granorum adhuc nanciscí posset: alii autem & ex panibus decidua, à multis jam conculcata, colligentes come-

λέγουτες, ἔκπτον. τοιαῦτα τῆς Πελοπουνήσου προπύλαια. καὶ ἡ δυαῖν θαλάσσαιν ἐν μέσῳ κειμένη πόλις χαρίεσσα μὲν ἰδεῖν, καὶ ἀμφιλαφῆς ἔχουσα τρυφημάτων, τοὺς δὲ δικήτορας ἀχαρίστους καὶ ἀνεπαφροδίτους κεκτημένη. καί τοιγε φασὶ τὴν Ἀφροδίτην ἐκ Κυθήρων ἀνασχεῖσαν τὴν ἀπροκρίνηθεν ἀπάσασθαι· εἰ μὴ ἄρα τοῖς μὲν γυναίοις Ἀφροδίτη πολιοῦχος, τοῖς δὲ ἀνδράσιν ὁ Λιμὸς καθίδρυται.

ΥΔΡΟΣΦΡΑΝΤΗΣ ΜΕΡΙΔΑΙ.

Ἡράκλεις, ὅσα ὑπέσχην πράγματα, ῥύμματι καὶ νίτρῳ Χαλαστρικῷ, χθιζινοῦ ζομοῦ τοῦ μοὶ περιχυθέντος τὴν γλισχρότητα ἀποκαθάιρων. καὶ οὐχ οὕτω με ἔδακεν ἡ ὕβρις ὅσον τὸ παρ' ἀξίαν ὑπομένειν. ἐγὼ μὲν γὰρ Ἀνθεμίωνος υἱὸς τοῦ πλουσιωτάτου τῶν Ἀθήνῃσι, καὶ Ἀξιοθέας τῆς κατὰ

HYDROSPHRANTES MERIDÆ. LXI.

debant. Tale eſt Peloponneſi veſtibulum, & duorum marium in medio jacens urbs, elegans quidem adſpectu, & abunde habens deliciarum, ſed incolas ingratos & invenuſtos adepta: etiamſi dicant Venerem ex Cytheris emergentem arcem Corinthi ſalutaſſe; niſi fortè mulierculis quidem Venus eſt civitatis præſes, viris autem Fames eſt dicata.

O Hercules, quantas ſuſtinui moleſtias, ſapone & nitro Chalaſtrico, heſterni juris mihi circumfuſi viſcoſitatem expurgans. nec tam me momordit contumelia, quàm quòd indignè paterer, ego enim Anthemionis filius illius ditiſſimi in urbe Athenarum, & Axiotheæ

γένος ἐκ Μεγακλέους ὁρμωμένης. ὁ δὲ ταῦθ' ἡμῖν ἐργαζόμενος, πατρὸς μὲν ἀσήμου, μητρὸς δὲ βαρβάρου, Σκυθίδος δὲ οἶμαι ἢ Κολχίδος ἐν νεομηνίᾳ ἐωνημένης, οὕτω γάρ μοι τῶν γνωρίμων τινὲς διηγήσαντο. ἀλλ' ἐγὼ μὲν ταπεινῷ τῷ σχήματι τὴν πατρῴαν ἀποβαλὼν οὐσίαν, ἀγαπῶ τῇ γαστρὶ τὴν ἀναγκαίαν πλησμονὴν ἐκπορίζων· Δοσιάδης δὲ ὦ θεοὶ τὴν Πνύκα καταλαμβάνει δημηγορῶν, καὶ τοῖς ἐν Ἡλιάᾳ καταριθμεῖται δικάζουσι, καὶ τὰς ἡνίας ἔχει τοῦ δήμου παρ' ᾧ Μιλτιάδης ἐδέδετο, ὁ τὸ ἐν Μαραθῶνι τρόπαιον ἐγείρας, καὶ Ἀριστείδης ὁ δίκαιος ἐξωστρακίζετο. λυπεῖ δέ με οὐχ ἥκιστα πρὸς τοῖς ἄλλοις καὶ ἡ τῆς προσηγορίας ἀποβολή. οἱ μὲν γὰρ πατέρες Πολύβιόν με ἔθεντο καλεῖσθαι· ἡ τύχη δὲ ἀμείψασα τοὔνομα Ὑδροσφράντην πρὸς τῶν ὁμοτέχνων ἠνάγκασε προσαγορεύεσθαι.

quoad prosapiam ex Megacle oriundæ; qui autem hæc nobis fecit, patris *est* ignobilis, matris autem barbaræ, Scythicæ, ut arbitror, aut Colchicæ, in novilunio emptæ, ita enim mihi quidam noti homines narrarunt. Ast ego quidem in humili cultu, paternis amissis opibus, contentus sum si ventri necessariam saginam suppeditem; Dosiades autem, ô Dii! Pnycem occupat concionaturus. & iis, qui in Heliæa jus dicunt, annumeratur: & habenas tenet Populi; apud quem Miltiades vinctus fuerat, is, qui Marathone tropæum erexit: & Aristides ille justus, eliminatus. Cruciat autem vel maximè præter cætera, etiam nominis amissio. nam Parentes quidem Polybii *quasi victu abundantis* imposuerunt mihi nomen; fortuna autem eô permutatô, Hydrosphrantem, *quasi aquas olfacientem*, appellari ab artis consortibus coëgit.

ΧΙΔΡΟΛΕΠΙΣΟΣ ΚΑΠΥΡΟΣΦΡΑΝΤΗι.

Ἤπίσασο τὴν αἰτίαν, ἐφ' ᾗ με διεσίλλαινεν αἱ γυναῖκες. τελευταῖον δὲ ἡ γραῦς ἡ δούλη ἐλοιδορήσατό μοι, εἰποῦσα· ἀλλ' ἐκπυριασθείης ὅτι ἄκαιρος εἶ καὶ λάλος. μυστήριον ἐν αὐταῖς τρέφεται ταῖν θεαῖν ταῖν Ἐλευσινίαιν ἀσφαλέστερον· καὶ βούλονται ἡμᾶς ἀγνοεῖν τοὺς εἰδότας, ἢ καὶ οἷόν τε ἀκηκοότας οὔπω πεπεῖσθαι. ἐγὼ δὲ οἶδα τὸ δρᾶμα, καὶ ὅσον οὐκ εἰς μακρὰν κατερῶ τῷ δεσπότῃ: οὐ γὰρ βούλομαι χέιρων Φανῆναι τῶν κυνῶν, αἳ τῶν τρεφόντων προϋλακτοῦσι καὶ κήδονται: μοιχὸς πολιορκεῖ τὴν οἰκίαν ὁ Ἠλεῖος νεανίσκος, ὁ εἷς τῶν Ὀλυμπιάσι βασκάνων. καὶ παρὰ τούτων γραμματίδια ὀσημέραι φοιτᾷ ἰδίᾳ πρὸ τῆς γαμετῆς τοῦ τρέφοντος ἡμᾶς, καὶ σέφανοι ἡμιμάρκυντοι,

CHIDROLEPISUS CAPYROSPHRANTÆ. LXII.

SCiviſti cauſam, ob quam me perſtringebant mulieres. poſtremò autem vetula illa ancilla conviciata eſt mihi, dicens: At tu funditus pereas, quia importunus es, & garrulus. Myſterium inter ipſas volvitur, dearum Eleuſiniarum *myſteriis* tutius: & volunt id ignorare nos qui novimus: aut etiam, ſi fieri poſſit, quamvis audiverimus, nondum perſuaſos eſſe. Ego verò ſcio facinus, & brevi indicabo hero. non enim volo deterior eſſe quàm ſunt canes. qui pro dominis latrant, eosque tuentur. Adulter vaſtat domum, ille ex Elide adoleſcens, unus ille ex faſcinatoribus ab Olympia. & ad hunc literulæ quotidie commeant propria manu ſcriptæ

καὶ μῆλα ἀποδεδηγμένα· αἱ δὲ ἀλάσσορες αὗται θεραπαινίδες συνίσασι, καὶ ἡ ἐπιτήδειος γραῦς, ἣν ἔμπουσαν ἅπαντες οἱ κατὰ τὴν οἰκίαν καλεῖν εἰώθασιν, ἐκ τοῦ πάντα ποιεῖν καὶ βιάζεσθαι. ἐγὼ δὲ οὐκ οἶδ' ὅπως σιγήσομαι, βούλομαι γὰρ ἐμαυτὸν οὐ παράσιτον, ἀλλὰ φίλον ἐπιδεῖξαι. καὶ ἄλλως διψῶ τῆς κατ' αὐτῶν τιμωρίας. οἶδα γὰρ εἰ ταῦτα εἰς φανερὸν ἀχθείη· αἱ μὲν θεραπαινίδες δεδήσονται, ὁ μοιχὸς δὲ ἀπολεῖται ῥαφάνοις τὴν ἕδραν βεβυσμένος, ἡ μιαρὰ δὲ γυνὴ τίσει τὴν ἀξίαν τῆς ἀκολασίας δίκην, εἰ μὴ Πολιάγρου τοῦ κυρτοῦ κακώτερος ἐστὶ τὰ τοιαῦτα Λυσικλῆς. ἐκεῖνος γὰρ λύτρα παρὰ τῶν μοιχῶν ἐπὶ τῇ γαμετῇ πραττόμενος ἀθώους τῆς τιμωρίας ἠφίει.

ab uxore regis noſtri, & ſerta ſemimarcida & poma admorſa; iſtæ autem Furiæ conſciæ ſunt, & illa capularis vetula, quam Empuſam omnes domeſtici vocare ſolent, ex eo quòd omnia facit & patitur. Ego verò tacere nulla ratione poſſum. volo enim me non paraſitum, ſed amicum probare. & cæteroquin etiam avidus ſum eas ulciſcendi. Scio enim ſi hæc in apertum producantur, fore ut ancillæ quidem vinciantur, adulter autem pereat raphanis obturatum habens anum; ſcelerata autem mulier dignam luat laſciviæ pœnam: niſi Poliagro illo gibberoſo ſegnior eſt circa talia Lyſicles. ille enim redimias ab adulteris ſuper uxore exigens immunes pœnæ dimittebat.

ΦΙΛΟΜΑΓΕΙΡΟΣ ΠΙΝΑΚΟΣΠΟΓΓΩι.

Οἷα βουλεύονται καὶ διανοοῦνται αἱ θεοῖς ἐχθραὶ λαιστρυγόνες. αὗται τῇ κεκτημένῃ συμπράττουσι. καὶ οἶδε τούτων οὐδὲν ὁ Φαιδρίας. μηνὶ πέμπτῳ μετὰ τοὺς γάμους τέτοκεν αὐτῷ τὸ γύναιον παιδίον ἄῤῥεν. τοῦτο μετὰ τῶν σπαργάνων, δέραια τινὰ καὶ γνωρίσματα περιθεῖσαι, ἔδωκαν Ἀσφαλίωνι τῷ συργάσορι κομίζειν ἐπὶ τὰς ἀκρωρείας τῆς Πάρνηθος. ἡμᾶς δὲ τέως μὲν ἀνάγκη κρύπτειν τὸ κακόν. καὶ πρὸς τὸ παρὸν σιγώην. σιγὴ δέ ἐστι τοῦ θυμοῦ τροφή. ἐπειδὰν δέ τι κἂν βραχὺ λυπήσωσι, κόλακα καὶ παράσιτον ὀνειδίζουσαι, καὶ τὰς ἄλλας ἃς εἰώθασιν ὕβρεις ἐπιφέρουσαι, εἴσεται τὸ γεγονὸς ὁ Φαιδρίας.

PHILOMAGIRUS PINACOSPONGO. LXIII.

QUalia cogitant & in animo habent iſtæ diis inviſæ meretrices. hæ enim cum hera mea faciunt. nec ſcit iſtorum quidquam Phædrias. menſe quinto poſt nuptias peperit ei muliercula infantem maſculum. hunc cum incunabulis collaria quædam & ſigna circumponentes, dederunt Aſphalioni operario ferendum ad verticem Parnetis. Nos autem interea neceſſe eſt occultare facinus: atque in præſens tacuerim; ſilentium autem eſt iracundiæ eſca. quòd ſi verò vel pauxillum moleſtæ fuerint, aſſentatorem & paraſitum per opprobrium vocantes, aliasque quas ſolent ignominias ingerentes, ſciet quod factum eſt Phædrias.

ΤΟΥΡΔΟΣΥΝΑΓΟΣ Ε'ΦΑΛΛΟΚΥ'ΘΡΑΙ.

Ὁ Μὲν Κρίτων ὑπ' ἀνοίας καὶ ἀρχαιότητος τρόπου τὸν υἱὸν εἰς Φιλοσόφου φοιτᾶν ἐπέτρεψε. τὸν αὐσηρὸν πρεσβύτην καὶ ἀμειδῆ τὸν ἐκ τῆς Ποικίλης ἐξ ἁπάντων τῶν Φιλοσόφων καθηγεῖσθαι τοῦ παιδὸς ἀξιώτερον ἡγησάμενος, ὡς ἂν παρ' αὐτῷ λόγων τινὰς σκινδαλμοὺς ἐκμαθὼν, ἐριστικὸς καὶ ἀγκύλος τὴν γλῶσσαν γένηται. ὁ δὲ παῖς ἐς τὸ ἀκριβέστατον ἐξεμάξατο τὸν διδάσκαλον. οὐ πρότερον γὰρ λόγων γένεσθαι μαθητὴς, ἀλλὰ καὶ τοῦ βίου καὶ τῆς ἀγωγῆς ἐσπούδασε. θεασάμενος γὰρ τὸν διδάσκαλον τῇ ἡμέρᾳ σεμνὸν καὶ σκυθρωπὸν καὶ τοῖς νέοις ἐπιτιμῶντα, νύκτωρ δὲ περικαλύπτοντα τὴν κεφαλὴν τριβωνίῳ καὶ περὶ χαμαιτυπίας εἱλούμενον, ἐζήλωσεν ἐν καλῷ. καὶ πέμπτην ταύτην ἡ-

TURDOSYNAGUS EPHALLOCYTHRÆ. LXIV.

CRiton quidem ex dementia & anilitate ingenii, filium in Philosophi *scholam* itare jussit; austerum illum senem atque tristem, illum ex Pœcila, præ omnibus Philosophis præceptorem esse filii digniorem arbitratus: ut ab ipso sententiarum quasdam scrupulositates edoctus, contentiosus & ancipiti lingua præditus evaderet. filius autem exactissimè expressit magistrum. non enim præcipuè sententias discere, sed & vitam atque disciplinam studuit. Cùm enim videret magistrum interdiu gravem ac tetricum, atque juvenes increpantem, nocte autem obvelantem caput palliastrô circa lupunaria versari; æmulatus est probè: ac tertium jam diem in amorem Acalanthidis illius ex Ce-

μέραν εἰς ἔρωτα Ἀκαλανθίδος τῆς ἐκ Κεραμεικοῦ κατολισθήσας, φλέγεται. αὐτὴ δὲ ἐπιεικῶς ἔχει πρὸς ἐμὲ, καὶ ἐρᾷν ὁμολογεῖ. τῷ μειρακίῳ δὲ ἐπανατείνεται ἡσθημένη πόθῳ τυφόμενον, καὶ οὐ πρότερον φησὶν ἐπιδώσει ἑαυτὴν πρὶν ἂν ἐγὼ τοῦτο ἐπιτρέψω· ἐμὲ γὰρ κύριον τοῦ τὰ τοιαῦτα προσάττειν ἐποιήσατο. πολλὰ καὶ ἀγαθὰ δείης Ἀφροδίτη πάνδημε τῇ φιλτάτῃ γυναικί. ἑταίρου γὰρ οὐχ ἑτάιρας ἔργον διεπράξατο. ἐξ ἐκείνου γὰρ θεραπεύομαι λιπαρῶς ἄλλοτε ἄλλαις δωροφορίαις. καὶ ἤν μοι ῥέυσειε τοῦ χρόνου προϊόντος δαψιλέστερος, οὐδὲν κωλύσει με τούτου γαμοῦντος ἐπικλήρου γυναῖκα, ἐν γαμετῆς σχήματι τὴν Ἀκαλανθίδα λυσάμενον ἀναλαβεῖν. ἡ γὰρ τοῦ ζῆν αἰτία, κοινωνὸς τοῦ ζῆν δικαίως ἂν καταςάιη.

ramico, lapſus, flagrat. Hæc autem bene affecta eſt erga me, & amare fatetur; adoleſcenti verò obnititur, poſtquam ſenſit eum cupidine uri; & non prius ait ſe copiam ſui facturam antequam ego id permittam. mihi enim jus talia ordinandi fecit. Multa bona tribuas, ô Venus vulgivaga, illi chariſſimæ mulieri, ſodalis enim non meretricis munere functa eſt. ex illo enim *tempore* color ſplendide munerum oblationibus. atque ſi mihi fluxerit, tempore procedente, largior, nihil impediet me, iſto ducente dotatam mulierem, ſub uxoris forma Acalanthidem redemptam aſſumere. quæ enim ut viverem effecit, conſors vitæ merito conſtituetur.

ΠΗΞΑΓΗΦΝΟΣ ΡΙΓΟΜΑΧΩι.

ΜΕγα τοῦτο ἀγαθὸν ἡ ἐξ Ἱστίας ναῦς, ἡ ἐπὶ τοῦ χώματος ὁρμῶσα, εἰς Ἀθήνας ἦκε, φέρουσα τὸν θαυμαστὸν τοῦτον ἔμπορον, ὃς τοὺς πλουσίους τοὺς Ἀθήνησι καὶ μεγαλοδώρους, κίμβικας καὶ μικροπεπεῖς ἀπέφηνεν, οὕτω κεχυμένως πρὸς τὰς δόσεις κέχρηται τῷ βαλαντίῳ. οὐ γὰρ ἕνα παράσιτον ἐξ ἄστεως, ἀλλὰ πάντας ἡμᾶς μεταπέμψας, καὶ οὐχ ἡμᾶς μόνον· ἀλλὰ καὶ τῶν ἑταιρῶν τὰς πολυτελεστέρας, καὶ μουσουργῶν τὰς καλλιφωνούσας, καὶ τοὺς ἐπὶ σκηνῆς ἁπαξαπλῶς εἰπεῖν ἅπαντας, οὐ τὴν πατρῴαν οὐσίαν, τὰ δὲ ἐκ δικαίων αὐτῷ ποριζόμενα σπαθᾷ, καὶ ψαλλόμενος καὶ καταυλούμενος ᾄδεται. καὶ τὴν διατριβὴν ποιεῖται χαρίτων καὶ Ἀφροδίτης γέμουσαν, καὶ ὑβρίζει οὐδέν.

MISOGNIPHUS RHIGOMACHO. LXV.

MAgno bono illa ex Hiſtiæa navis, quæ ad aggerem ſtationem habet, Athenas advenit ferens admirandum iſtum mercatorem. qui quosvis opulentos Athenienſium & munificos, ſordidos & illiberales videri fecit: adeò effusè ad dandum uti ſolet crumenâ. Non enim unum paraſitum ex urbe, ſed omnes nos accerſivit, neque nos tantùm, ſed etiam ex meretricibus ſumptuoſiores, & ex cantricibus formâ præſtantes, & Scenicos in univerſum, dicere poſſis, omnes: non paternas opes, ſed ea quæ juſtè ipſi acquiruntur, effundens: atque fidibus tibiisque circumſonari gaudet: converſationemque facit ſuavitate ac venuſtate ſcatentem, & contumelias nullas: eſt etiam adſpectu

ἔφι δὲ καὶ ὀφθῆναι κεχαρισμενώτατος, καὶ πρόσωπον αὐτῷ τὰς Ὥρας αὐτὰς ἐπικαθημένας ἔχει, καὶ τὴν Πειθὼ τοῖς ὄμμασιν ἐνορχεῖσθαι εἴποις ἄν. προσπαῖσαί τε γλαφυρὸς καὶ λαλῆσαι σωμύλος. Οὕνεκά οἱ γλυκὺ Μοῦσα κατὰ στόματος χέε νέκταρ. εἰπεῖν γὰρ οὐ χεῖρον κατὰ τοὺς παιδείᾳ σχολάζοντας, ἐξ Ἀθηνῶν ὁρμώμενον, ἐν οἷς οὐδὲ εἷς τούτων ἄγευστος.

ΓΥΜΝΟΧΑΙΡΩΝ ΦΑΓΟΔΑΙΤΗΣ.

Εθεάσω οἷά με εἰργάσατο ὁ κατάρατος οὗτος κουρεὺς, ὁ πρὸς τῇ ὁδῷ, λέγω δὲ τὸν ἀδόλεσχον καὶ λάλον, τὸν Ἀβρωτησίου προτιθέμενον ἔσοπτρα, τὸν τοὺς χειροήθεις κόρακας τιθασσεύοντα, τὸν ταῖς μαχαιρίσι κυμβαλισμὸν ἔυρυθμον ἀ-

gratiſſimus, & vultus ei Horas ipſas inſidentes habet: atque lepôrem in oculis ei tripudiari diceres: in alludendo etiam feſtivus, & in loquendo facundus, *Utpote cui dulci os perfudit, nectare Muſa:* loqui enim melius eſt ſedundùm eos, qui literarum ſtudiis vacant, ſi quis Athenis ſit oriundus, ubi nemo iſtarum rerum non habet guſtum.

GYMNOCHÆRON PHAGODÆTÆ. LXVI.

VIdiſti qualiter me tractaverit execrabilis iſte tonſor, iſte ad viam, iſte inquam garrulus & loquax, qui Abroteſii proponit ſpecula, qui corvos manſuetos & cicures efficit, qui cultris pulſatis modulatè cymbaliſſat. ut enim veni, radendam ei barbam dare cupiens, libenter

γακρεύονται. ὡς γὰρ ἀφικόμην ξυριεῖσθαι τὴν γενειάδα βουλόμενος, ἀσμένως τε ἐδέξατο, καὶ ἐφ' ὑψηλοῦ θρόνου καθίσας, σινδόνα καινὴν περιθεὶς, πράως εὖ μάλα κατέφερέ μοι τῶν γνάθων τὸ ξυρὸν, ἀποψιλῶν τὸ πύκνωμα τῶν τριχῶν. ἀλλ' ἐν αὐτῷ τούτῳ πανοῦργος ἦν καὶ σκαιός. ἔλαθε γὰρ τοῦτο παρὰ μέρος ποιῶν, καὶ οὐ κατὰ πάσης τῆς γνάθου. ὥστε ὑπολειφθῆναί μοι πολλαχοῦ μὲν δασεῖαν πολλαχοῦ δὲ λείαν τὴν σιαγόνα. κἀγὼ μὲν οὐκ εἰδὼς τὴν πανουργίαν, ᾠχόμην κατὰ τὸ εἰωθὸς ἄκλητος εἰς Πασίωνος. οἱ συμπόται δὲ ὡς εἶδον, ἐξέθανον τῷ γέλωτι. ἕως ἀγνοοῦντά με ἐφ' ὅτῳ γελῶσιν, εἷς τις εἰς μέσους παρελθὼν, τῶν ἀπολειφθεισῶν τριχῶν ἐπιλαβόμενος ἕλκυσεν. ἐκεῖνας μὲν οὖν περιπαθῶς κοπίδα λαβὼν ἀπερρίζωσα. ἕτοιμος δέ εἰμι ξύλον ἐυμέγεθες ἀνελόμενος κατὰ τοῦ βρέγματος πατάξαι τὸν ἀλιτήριον. ἃ γὰρ οἱ τρέφοντες ποιοῦσι, ταῦτα μὴ τρέφων ἐτόλμησεν.

me excepit, & in alto collocatum ſedili, linteo novo circumdedit: deinde leniter admodum deducebat mihi per buccas novaculam, deglabrans denſitatem pilorum; ſed in eo ipſo vafer erat & improbus. latenter enim id ex parte fecit, & non in tota bucca: ita ut relicta fuerit mihi multis in locis hiſpida, multis in locis glabra, maxilla. atque ego ignarus vaframenti, abii pro more invocatus in Paſionis ædes. convivæ autem ut videbant, emoriebantur riſu: donec neſcienti mihi quamobrem rideant, quidam in medios progreſſus, relictos pilos vellicavit. illos equidem cum dolore, ſumpto cultro, eradicavi. paratus autem ſum, fuſte grandi ſublato, ſinciput percutere illi ſcelerato. quæ enim ii qui nos alunt, per jocum faciunt, ea iſte non alens auſus eſt.

ΔΙΨΟΦΑΠΑΤΣΙΑΤΠΟΣ ΠΛΑΚΟΤΝΤΟΜΤΩΝΙ.

ΝΕυρίδα ἰδὼν κανηφοροῦσαν, παρθένον καλλίπηχυν, καὶ ἐυδάκτυλον, ταῖς βολαῖς τῶν ὀφθαλμῶν ἀςράπτουσαν, ἐυμήκη καὶ ἔυχρουν, ἧς αἱ παρειαὶ μαρμάιρουσιν, οὕτως ἐξεκαύθην εἰς ἔρωτα, ὥςε με ἐπιλαθόμενον, οἷός εἰμι, προσδρκμόντα ἐθελειν κύσαι τὸ ςόμα· ἔπειτα ἐπὶ συννοίας γενόμενον, προσφύντα βούλεσθαι τὰ τοῖν ποδοῖν ἴχνη καταφιλεῖν. ἆι ἆι τῆς ἀγερωχίας, νῦν ἐμὲ μὴ ἐπιθυμεῖν θέρμων, ἢ κυάμων, ἢ ἀθάρας, ἀλλ' οὕτως ὑπερμαζᾶν, καὶ τῶν ἀνεῴκτων ἐρᾶν. καταλεύστατέ με πάντες εἰς ταυτὸν συνελθόντες, πρινὴ-ριθῆναι τοῖς πόθοις, καὶ γένεσθω μοι τύμβος ἐρωτικὸς ὁ τῶν λιθιδίων κολωνός.

DIPSAPHAUSILYPUS PLACENTAMYONI. LXVII.

NEurida conſpicatus, canephoram virginem, pulchris ulnis præditam pulchrisque digitis, acie oculorum coruſcantem, proceram & boni coloris, cujus genæ nitent; ita exarſi in amorem, ut, oblitus qui ſim, accurrens voluerim ſuaviari os: deinde mecum rem reputans, adhæreſcens cupiverim pedum veſtigia deoſculari. Heu heu proterviam! mene jam non deſiderare lupinos, aut fabas, aut pultem: verùm ita ſaturitate eſſe ebrium, ut incomprehenſibilia amem! Obruite me lapidibus omnes in unum congreſſi, priusquam contabeſcam deſiderio, & fiat mihi tumulus amatorius lapillorum collis.

Τ' ΑΤ' ΑΕΙΠΝΟΣ Α'ΡΙΣΤΟΚ'ΟΡΑΚΙ.

Θεοὶ μάκαρες, ἱλήκοιτε καὶ εὐμενεῖς εἴητε. οἷον ἀπέφυγον κίνδυνον, τῶν τρισκαταράτων ἐρανισῶν λέβητά μοι ζέοντα ὕδατος ἐπιχέαι βουληθέντων. ἰδὰν γὰρ πόρρωθεν εὐτρεπεῖς, ἀπεπήδησα· οἱ δὲ ἀπροβουλεύτως ἐξέχεον, καὶ τὸ θερμὸν ἐπιῤῥυὲν Βαθύλλῳ τῷ οἰνοχοοῦντι παιδὶ, ψιλὸν εἰργάσαντο. τῆς κεφαλῆς γὰρ ἀπεσύρη τὸ δέρμα, καὶ φλυκτάινας ἐπινωτίους ἐξήνθησε. τίς ἄρα μοι δαιμόνων Ε'πίκουρος ἐγένετο. μή ποτε οἱ σωτῆρες ἄνακτες ὡς Σιμωνίδην τὸν Λεωπρεποῦς τοῦ Κρανωνίου, καὶ μὲ τῶν τοῦ πυρὸς κρουνῶν ἐξήρπασαν.

HEDYDIPNUS ARISTOCORACI. LXVIII.

DIi beati! propitii & benigni ſitis. Qualè effugi periculum ab iſtis execrabiliſſimis epulonibus! qui lebetem mihi ferventem cum aqua ſuperfundere voluerunt. cùm enim viderem â longinquo paratos, abſilui; at illi inconſultè effundebant, & fervor fluens illapſus Bathyllo pocillatori puero, glabrum eum fecit. à capite enim detracta ei eſt cutis, & puſtulas in dorſo pullulantes emiſit. Quisnam verò deorum mihi auxiliator fuit? numquid Soſpitatores *Dioſcuri*, ut Simonidem Leoprepis F. ex Cranonio convivio, & me ex ignis fluore eripuerunt?

ΤΡΙΚΤΙΝΟΣΑΡΑΞ ΓΛΩΣΣΟΤΡΑΠΕΖΩι.

ΕΞηγόρευσα Μνησιλόχῳ τῷ Παιανιεῖ τὴν τῆς γαμετῆς ἀσέλγειαν. καὶ ὃς, δέον βασανίσαι, διερευνᾶν τε τὸ πρᾶγμα ποικίλως, ὅρκῳ τὸ πᾶν, ὁ χρυσοῦς, ἐπέτρεψεν. ἀγαγοῦσα οὖν αὐτὸν ἡ γυνὴ εἰς τὸ Καλήχωρον τὸ ἐν Ἐλευσῖνι φρέαρ, ἀπωμόσατο, καὶ ἀπεδύσατο τὴν αἰτίαν. καὶ ὁ μὲν ἀμηγέπη πέπεισαι, καὶ τὴν ὑποψίαν ἀπέβαλεν· ἐγὼ δὲ τὴν φλυαρὸν γλῶτταν ἀποτέμνειν ὀρράκῳ ςενεδίῳ τοῖς βουλομένοις ἕτοιμός εἰμι παρέχειν. **

ΛΙΜΟΤΎΣΤΗΣ ΘΡΑΣΟΚΤΔΟΙΜΩι.

ΚΟρύδωνι τῷ γεωργῷ συνήθης ἐπιεικῶς ἦν. καὶ τὰ πολλὰ ἐξεχεῖτο ἐν ἐμοὶ τῷ γέλωτι, Ἀττικῆς ςωμυλίας καὶ ξένης ἢ κατὰ τοὺς χωρίτας

TRICHINOSARAX GLOSSOTRAPEZO. LXIX.

ENunciavi Mneſilocho Pæanienſi uxoris ſuæ impudicitiam. atque is, cùm debuiſſet exquirere perſcrutarique negotium variis modis; jurijurando omnem rem, homo bellus, commiſit. Cùm igitur duxiſſet eum mulier ad Callichorum in Eleuſine puteum, dejeravit & exuit crimen. atque ille quidem quodammodo perſuaſus eſt, & ſuſpicionem abjecit. ego autem garrulam hanc linguam abſcindendam teſtà Tenediâ, iis qui volunt, paratus ſum præbere.

LIMOPYSTES THRASOCYDOEMO. LXX.

COrydoni agricolæ conſuetudine conjunctus mediocriter eram: & plerumque effundebatur ſuper me in riſum, quòd eſſet Atticæ dica-

ἐπαΐων. τοῦτον ἰδὼν, Ἕρμαιον ᾠήθην, εἰ τῶν κατὰ ἄστυ πραγμάτων ἀπαλλαγείς, εἰς τὸν ἀγρὸν βαδιοίμην, καὶ συνεσοίμην ἀνδρὶ Φίλῳ, γεωργῷ ἀπράγμονι καὶ ἐργάτῃ. οὐκ ἐκ δικαστηρίων, οὐδὲ ἐκ τοῦ σείειν κατὰ ἀγορὰν ἀδίκους ἐπινοοῦντι πόρους, ἀλλὰ γῆθεν ἀναμένοντι τὴν ἐπικαρπίαν ἔχειν. καὶ δῆτα διανοηθεὶς ταῦθ' οὕτω δρᾷν, ᾠκειωσάμην τὸν Κορύδωνα. καὶ σείλας ἐμαυτὸν ἀγρικῶς, νάκος ἐναψάμενος, καὶ σμινύην λαβὼν, αὐτοσκαπανεὺς ἐδόκουν. ἕως μέν οὖν ἐν παιδιᾷς μέρει ἔπρατταν ταῦτα, ἀνεκτὸς ἦν. καὶ μεγάλα ἀποκερδάινειν ᾠόμην, ὕβρεων καὶ ῥαπισμάτων, καὶ τῆς περὶ τὰ ἐδώδιμα τῶν πλουσίων ἀνισότητος ἀπηλλαγμένος. ἐπεὶ δὲ ἐκ τῆς καθημέραν συνηθείας, ἐξ ἐπιταγῆς ἐπράττετο τοὔργον, καὶ ἔδει πάντως ἢ ἀροῦν, ἢ φελλέα

citatis, & insolentioris quàm pro captu rusticanorum, intelligens. Hunc conspicatus, Mercuriale lucrum credidi, si ab urbanis molestiis liber, rus me conferrem, & essem apud hominem amicum agricolam, tranquillum, operarium: non ex judiciis, neque ex calumniando per forum, iujustos machinantem quæstus, sed ex terra expectantem fructus percipiendos. & sanè in animo constitutum habens hæc ita facere, familiarius mihi conciliavi Corydonem: cumque exornassem meipsum rusticanum in modum, pelliceo aptato, & ligone sumpto, verus fossor videbar. Equidem quamdiu instar joci faciebam hæc, tolerabilis eram, & magnum operæ pretium me ferre putabam, quòd essem à contumeliis & alapis, & ab inæqualitate divitum circa cibos, liberatus; postquam verò ex quotidiana consuetudine pro imperio res agebatur, & debebam utique aut arare, aut falebras expur-

ἐκ-

ἐκκαθάιρειν, ἢ γύρους περισκάπτειν καὶ τοῖς βόθροις ἐμφυτεύειν· οὐκ ἔτ' ἀνασχετὸς ἡ διατριβή. ἀλλά μοι μετέμελε τῆς ἀλόγου πράξεως, καὶ τὴν πόλιν ἐπόθουν. ἐλθὼν οὖν ἐπὶ μήκιστον χρόνον, οὐκ ἔθ' ὁμοίως δεκτὸς, οὐδὲ χαρίεις ἐδόκουν· ἀλλά τις ὄρειος καὶ τραχὺς καὶ ἀπηχής. ὥστε αἱ μὲν οἰκίαι τῶν πλουσίων πᾶσάι μοι λοιπὸν ἀπεκέκλειντο. ὁ δὲ λιμὸς τὴν γαστέρα ἐθυροκόπει. ἐγὼ δὲ αὖος ὢν ὑπὸ τῆς τῶν ἀναγκάιων ἐνδείας, λῃσταῖς τισὶ Μεγαρικοῖς, οἳ περὶ τὰς Σκειρωνίδας τοῖς ὁδοιπόροις ἐνεδρεύουσιν, ἐκοινώνησα. ἔνθεν ὁ βίος μοι ἀργὸς ἐξ ἀδικίας πορίζεται. εἰ δὲ λήσω ταῦτα ποιῶν ἢ μὴ, ἄδηλον. δέδια δὲ τὴν μεταλλαγὴν τοῦ βίου. εἰώθασι γὰρ αἱ τοιαῦται μεταβολαὶ οὐκ εἰς τὸ ζῆν, ἀλλ' εἰς ἀπώλειαν καταφρέφειν.

gare, aut gyros fodere & ſcrobibus plantas mandare: non amplius toleranda hæc manſio *erat;* ſed me pœnitebat ſtulti facti, & urbem deſiderabam. Cùm igitur *eò* veniſſem longo pòſt tempore, non amplius æque acceptus, neque lepidus videbar: verùm montanus aliquis & aſper & abſonus. itaque ædes quidèm divitum omnes mihi jam clauſæ erant, fames autem ventrem pulſabat. ego autem ſiccus præ rerum neceſſariarum inopia, latronibus quibusdam Megaricis qui circa Scironidas *petras* viatoribus inſidiantur, me ſocium addidi: unde victus mihi ſine labore acquiritur. An verò in occulto manſurus ſim hæc faciens, vel non, incertum: timeo autem mutationem vitæ; ſolent enim tales mutationes non ad vitam, ſed ad interitum inclinare.

ΦΙΛΑΠΟΡΟΣ ΨΙΧΟΜΑΧΩι.

ΛΕξιφάνης ὁ τῆς κωμῳδίας ποιητὴς θεασάμενός με πρὸς τὰς ἐν συμποσίοις παρσινίας, λαβὼν καθ' ἑαυτὸν. πρῶτα μὲν ἐνουθέτει, μὴ τοιαῦτα ἐπιτηδεύειν ἐξ ὧν ὕβρις τὸ τέλος. ἔπειτα τοῦ Φρονήματος ὡς ἔχοιμι διὰ βραχέων ἀποπειραθεὶς, τῷ χορῷ τῶν κωμικῶν συλλαμβάνει. ἐκ τοῦδε τραφησόμενον ἔφασκε καὶ ἐμέ. ἐκέλευεν οὖν ἐκμαθόντα Διονυσίοις τοῖς ἐπισῦσι τὸ τοῦ οἰκέτου σχῆμα ἀναλαβόντα, τὸ μέρος ἐκεῖνο τοῦ δράματος ὑποκρίνασθαι. ἐγὼ δὲ ὀψὲ τῷ καιρῷ καὶ Φύσιν καὶ ἐπιτήδευσιν μεταβαλὼν, δύσκολός τις καὶ δυσμαθὴς ἐφαινόμην. ἐπεὶ δὲ οὐκ ἦν ἑτέρως πράττειν, τὸ δρᾶμα ἐξέμαθον. καὶ μελέτην ἀσκήσει ῥώσας, ἕτοιμός εἰμι τῷ χορῷ συντελεῖν. σὺ δὲ ἡμῖν μετὰ τῶν

PHILAPORUS PSICHOMACHO. LXXI.

LExiphanes ille Comœdiarum Poëta cùm vidisset me inter eas quas in conviviis temulenti faciunt injurias; assumptum ad se, primò quidem monebat ne talia sectarer ex quibus contumelia denique existit: deinde ingenio quali præditus essem, paucis experimentô captô, in gregem Comicum recepit; ex ea re autem alimenta habiturum ajebat & me. jubebat igitur, ut, ubi satis didicissem, Liberalibus insequentibus, servi habitu assumpto, partem illam Fabulæ agerem. ego autem qui eo tempore cùm jam serum est, & naturam & institutum mutaveram, incommodus homo & indocibilis videbar. sed cùm non liceret aliter facere, Fabulam edidici, & postquam meditationem exercitatione firmavi, paratus sum ut gregi contribuar. Tu verò nobis,

συνήθων ἐπίσειε τοὺς κρότους, ἵνα κἂν τι λάθωμεν ἀποσφαλέντες, μὴ λάβῃ χώραν τὰ ἀσικὰ μειράκια κλώζειν ἢ συρίττειν· ἀλλ' ὁ τῶν ἐπαίνων κρότος τὸν θροῦν τῶν σκωμμάτων παραλύσῃ.

ΟΙΝΟΧΑΙΡΩΝ ΡΑΦΑΝΟΧΟΡΤΑΣΩι.

Οὐχ οὕτως οἱ τοὺς Ἑρμᾶς περικόψαντες, ἢ τὰ τῆς θεοῦ ἐν Ἐλευσῖνι μυστήρια ἐξορχησάμενοι, τὸν περὶ ψυχῆς ἀγῶνα ὑπέμειναν, ὡς ἐγὼ, εἰς χεῖρας ἐμπεσὼν ὦ θεοὶ τῆς μιαρωτάτης Φανομάχης. ἐπεὶ γὰρ ἔγνω τὸν ἑαυτῆς προσκείμενον τῇ Γωνικῇ παιδίσκῃ, τῇ τὰς σφαίρας ἀναῤῥιπτούσῃ καὶ τὰς λαμπάδας περιδινούσῃ, ὑπετόπησεν ἐμὲ πρόξενον εἶναι τῆς κοινωνίας· καὶ διὰ τῶν οἰκετῶν ἁναρπάσασα, παρὰ χρῆμα μὲν ἐν κυσοδόχῃ δήσα-

unà cum familiaribus, intenta plauſus, ut, etiamſi nonnihil per imprudentiam titubaverimus, non inveniant locum urbici adoleſcentes ad explodendum & ſibilandum; ſed plauſus ex laudationibus, tumultum cavillationum diſſolvat.

OENOCHÆRON RAPHANOCHORTASO. LXXII.

NOn ſic ii qui Hermas truncarunt, aut Deæ Eleuſiniæ myſteria profanarunt, capitale judicium ſubſtituerunt, ut ego, in manus delapſus, ô dii! illius ſceleratiſſimæ Phanomachæ. Cùm enim cognoviſſet ſuum *maritum* adhærere Ionicæ illi puellæ, quæ pilas ſubjectat, & lampadas circumverſat; ſuſpicata eſt me conciliatorem eſſe conſuetudinis: & per famulos abreptum, tunc quidem ſtatim vinculis conſtrictum tenuit; po-

σα κατέσχεν, εἰς τὴν ὑστεραίαν δὲ παρὰ τὸν ἑαυτῆς ἦγε πατέρα, τὸν σκυθρωπὸν Κλεάινετον, ὃς τανῦν δὴ ταῦτα πρωτεύει τοῦ συνεδρίου, καὶ εἰς αὐτὸν ὁ Ἄρειος πάγος ἀποβλέπουσιν. ἀλλ' ὅταν τινὰ θέλωσιν οἱ θεοὶ σάζεσθαι, καὶ ἐξ αὐτῶν ἀναστῶσι βαράθρων. ὡς κἀμὲ τοῦ τρικαρήνου κυνὸς, ὃν φάσιν ἐφεστάναι ταῖς Ταρταρίαις πύλαις, ἐξήρπασαν. οὐκ ἔφθη γὰρ τὰ κατ' ἐμὲ ὁ δεινὸς ἐκεῖνος πρεσβύτης τῇ βουλῇ κοινούμενος, καὶ ἠπιάλῳ συσχεθεὶς, εἰς τὴν ἕω ἀπέψυξε. καὶ ὁ μὲν ἐκτάδην κεῖται, πρὸς τὴν ἐκφορὰν τῶν οἴκοι παρασκευαζομένων. ἐγὼ δὲ οἷον ποδῶν εἶχον, ᾠχόμην. καὶ σώζομαι οὐχ ὑπὸ τοῦ τῆς Ἀτλαντίδος Μάιας παιδὸς, ἀλλ' ὑπὸ τῶν ποδῶν καὶ τοῦ τολμήματος, τὴν ἐλευθέραν πορίσας ἀτρκπόν.

ſtridie autem ad ſuum duxit patrem, ad tetricum illum Cleænetum, qui hoc tempore primarius eſt Synedrii, & ad ipſum Areopagitæ reſpiciunt. Sed quando aliquem volunt dii ſervatum, etiam ex ipſo barathro retrahunt: uti & me à tricipiti cane, quem ajunt præpoſitum eſſe Tartareis portis, eripuerunt. Vix enim rem de me acris ille ſenex cum Senatu communicaverat, & febri correptus, mane expiravit. atque ille quidem porrectim jacet: ad exequias domeſticis ſe præparantibus; ego autem ſicut pedibus valebam, aufugiebam: & incolumis ſervor, non ab Atlantidis Majæ filio: ſed per pedes & audaciam meam, liberô partô itinere.

BINDING SECT. JUL 3 1 1964

LGr
A353B

Alciphron
Epistolae, Graece et Latine; ed. by
Bergler.

NAME OF BORROWER.

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED